Utrecht University Library
Partner in Science
Universiteit Utrecht

# Michae?lou Psellou, Kephalaia peri to?n ouranio?n so?mato?n, kai to?n touto?n kine?seo?n

https://hdl.handle.net/1874/376905

. 9
Pl. A

Hs. 9²
Kast 1, Pl. A

~~Hs. 9 2. I. A.~~
Hs 14 2
(9 I Ag)

a: ..........................................................

b: Michaeli Pselli: Κεφάλαια ...

gefolieerd 2-19

1. A. 9
Tiele 14

meā a labijs iniquis:
et a lingua dolosa.
Quid detur tibi aut
quid apponatur ti
bi: ad linguā dolosā
Sagitte potentis a
cute: cū carbonibus
desolatorijs.
Heu michi quia inco
latus meus plonga
tus est: habitaui cū
habitantibz cedar. mul
tū incola fuit aīa me
Cū hijs qui ode
runt pacem eram pa
cificus: cū loquebar
illis īpugnabāt me
Gloria patri gratis



Clamaui et exaudi



uit me. Auxilium.
Leuaui oculos



meos in mō Euouae

tes: unde veniet auxi
lium michi
Auxiliū meū a dño:
qui fecit celū et terrā.
Non det in cōmotio
nē pedem tuū: neqz
dormitet qui custodit
Ecce nō dormita
bit neqz dormiet: qui
custodit israhel.
Dñs custodit te: do
minus ptectio tua su
per manū dexterā tuā
Per diem sol non u
ret te: neqz luna per noctē
Dñs custo
dit te ab omi malo:
custodiat animam
tuam dominus.
Dñs custodiat in
troitū tuū et exitum
tuū ex hoc nunc et
usqz in seculū.
Gloria patri et fili



Auxilium meū a do

sum nimis.

Ego dixi in excessu meo: omnis homo mendax.

Quid retribuam domino: pro omnibus que retribuit michi.

Calicem salutaris accipiam: et nomen domini invocabo.

Vota mea domino reddam coram omni populo eius: preciosa in conspectu domini mors sanctorum eius.

O domine quia ego servus tuus: ego servus tuus et filius ancille tue.

Dirupisti vincula mea: tibi sacrificabo hostiam laudis: et nomen domini invocabo.

Vota mea domino reddam in conspectu omnis populi eius: in atriis domus domini in medio tui iherusalem.



Credidi propter quod



locutus sum. Laudate



Laudate dominum omnes gentes: laudate eum omnes populi. Euouae.

Quoniam confirmata est super nos misericordia eius: et veritas domini manet in eternum. Anthiphona.

Confitemini domino quoniam ps.



Laudate dominum omnes gentes



Clama



ui Euouae. Psalmus.

Ad dominum cum tribularer clamavi: et exaudivit me.

Domine libera animam

1. A. 9.
Tule 14

UNIVERSITEITS BIBLIOTHEEK UTRECHT

Μιχαήλου Ψελλοῦ, κεφάλαια περὶ τῶν οὐρανίων σωμάτων, καὶ τῆς τούτων κινήσεως:

Διατί αἱ ἐν τῷ οὐρανῷ κινήσεις ἐναντίαι:
Περὶ τοῦ οὐρανίου χρώματος.
Περὶ τῆς διαφανείας τοῦ οὐρανοῦ.
Περὶ μεγέθους τοῦ οὐρανοῦ.
Περὶ τῆς ἀποστάσεως τοῦ οὐρανοῦ.
Ὅτι οὐκ ἀναγκαῖα μόνον εἰσὶ τινὰ τῶν ἐν τῷ οὐρανῷ, ἀλλὰ χρήσιμα καὶ ἐπιτερπῆ:
Περὶ τοῦ τῆς ☾ σχήματος.
Περὶ αὐξομειώσεως ☾.
Διατί ἡ ☾ παρὰ τοῦ ☉ δέχεται τὸ φῶς.
Περὶ τοῦ καλουμένου προσώπου τῆς ☾.
Περὶ τῆς μηνιαίας τῆς ☾ ἀποστάσεως:
Διατί τὴν ἡλιακὴν ὁδὸν ὑπερβαίνει ἡ ☾.
Περὶ τῆς ἀποστάσεως τῆς ☾.
Διατί ὑψηλοτέρα καὶ χθαμαλωτέρα γίνεται ἡ σελήνη.
Περὶ τοῦ ἑρμοῦ.
Διατί ὁ ἑρμῆς ὑπὲρ τὴν ☾ ἐτάχθη.
Διατί ὁ ἑρμῆς στίλβει.
Διατί πλησιάζει ὁ ἑρμῆς τῷ ☉, καὶ οὐκ ἀφίσταται.
Διατί πάντες οἱ πλανῆται ἀναποδίζουσι.
Περὶ τοῦ ἑρμοῦ ἰδιοτήτων.
Διατί ἡ ἀφροδίτη οὐ κατὰ πολὺ τοῦ ἡλίου ἀφίσταται.
Διατί οὐ συνεχέστερον ἀναποδίζει ἡ ἀφροδίτη.
Περὶ τοῦ ἡλίου.
Περὶ τοῦ μεγέθους τοῦ ἡλίου.
Διατί ὁ ἥλιος μείζων ἐδημιουργήθη τῆς γῆς, καὶ τῆς ☾:
Διατί λοξῶς κινεῖται ὁ ἥλιος.
Διατί ἡ τοῦ ἡλίου λόξωσις κδ μοιρῶν ἀμφοτέρωθεν.
Περὶ τῆς ἐν τοῖς τροπικοῖς βραδυτῆτος τοῦ ἡλίου τῷ θερινῷ καὶ χειμερινῷ.
Διατί ἐν ταῖς βορειοτέραις χώραις μείζονες αἱ θεριναὶ ἡμέραι.
Διατί ὁ ἥλιος ποτὲ μὲν πλησιάζει τῆς γῆς, ποτὲ δὲ ἀφίσταται.
Περὶ τῆς διὰ τξε ἡμερῶν τοῦ ἡλίου ἀποκαταστάσεως
Περὶ τῆς τοῦ ἡλίου ἀφ' ἡμῶν ἀποστάσεως.
Διατί ἀνατέλλει καὶ δύνει ὁ ἥλιος.

+ ἰῦ ἡγουμένου: puto leg. Ἰησοῦ ἡγουμένου.

Διατί αἱ ἐν τῷ οὐρανῷ κινήσεις ἐναντίαι. κεφάλαια, κῦ μιχαήλου τοῦ ψελλοῦ περὶ τῶν οὐρανίων σωμάτων καὶ τῆς τούτων κινήσεως.

Αἱ ἐναντίαι κινήσεις, τὸ μὲν, ἐτάχθησαν διὰ τὸ ἐξ ἐναντίων συγκινεῖσθαι τὸν ἐν γενέσει καὶ φθορᾷ κόσμον. τὸ δέ, ἵνα διακριθῇ ἡμῖν ἀριδηλότερον ἡ τούτων κίνησις τῆς οὐρανίας. καὶ θαυμάζωμεν ἐπιτελουμένων τὴν τοῦ κινοῦντος δύναμιν. ἔτι δέ, καὶ ἵνα ἡ ἁρμονία συντελεσθῇ. οὐδεμία γὰρ ἁρμονία ἐξ ὁμοίων, ἀλλ' ἐξ ἐναντίων. διό, καὶ ταύτην ὁρίζονται πολυμιγέων καὶ δίχα φρονεόντων ἕνωσιν. καὶ ταῦτα μὲν, περὶ τῆς κινήσεως.

τερον

Περὶ τοῦ οὐρανίου χρώματος.

Κυάνεος δὲ ὁρᾶται ὁ οὐρανός. ὅτι λυσιτελέστερον τοῦτο τὸ χρῶμα τῇ ὄψει τῶν λοιπῶν χρωμάτων. ὡς μέσον ὂν τοῦ λευκοῦ καὶ τοῦ μέλανος. εἰ μὲν γὰρ λευκὸν ὡρᾶτο διέκρινεν ἂν τὰς ἡμετέρας ὄψεις, καὶ τῆς ἐκ τῆς θε ἡδονῆς ἀπεστέρησεν ἅπαντας. εἰ δὲ μέλας, σύγκρισιν ἂν πεποιήκει τῶν ἡμετέρων ὄψεων καὶ ἀγαλλὴς κατεφαίνετο. πολλῶν δὲ χρωμάτων μέσον τοῦ λευκοῦ καὶ τοῦ μέλανος ὄντων, τὰ μέν, τῷ λευκῷ πλησιάζει. τὰ δέ, τῷ μέλανι. μέσην δὲ τάξιν ἐπέχει τὸ οὐράνιον σῶμα οὐκ ἔτι δὲ καὶ κέχρωσται ὀνομάζωμεν ἐπὶ τούτου χρῶμα. ἀλλ' ὅτι, οὕτως ὁρᾶται.

θέας

leg. χρῶμα.

Περὶ τῆς διαφανείας τοῦ οὐρανοῦ:

Διαφανείας δὲ ἔτυχεν εἰλικρινεστάτης. ἵνα καὶ αὐτὰ τὰ τῶν λαμπρῶν σωμάτων εἰς φῶς διαπορθμεύηται. καὶ ἵνα ἡ ἡμε-

*Ex codice Ios. Scaligeri, qui in bibliotheca Leidensi adservatur, hunc codicem descripsi Leidæ, CIↃ IↃC XLVIII. Marcus Meibomius.*

τέρα ὄψις διϊκνεῖται δι' αὐτοῦ ἀπαρεμποδί-
στως καὶ ὁρᾷ πάντα τὰ ἐν αὐτῷ. διαφανέστε-
ρος γάρ ἐστι καὶ αὐτοῦ τοῦ ἀέρος. καὶ ὅσον βα-
θύτερος. εἰ μὴ γὰρ ἦν τοιοῦτος, οὐκ ἂν
κατελάμβανεν ἡ ἡμετέρα ὄψις καὶ αὐτοὺς
τοὺς ἀπλανεῖς ἀστέρας.

Περὶ μεγέθους τοῦ οὐρανοῦ.

Τοσοῦτον δὲ εὐπορεῖ μεγέθους, ὅσον καὶ
τὴν ἀπειρίαν ἐκφεύγειν. μόνον γὰρ τὸ θεῖον
ἄπειρον. καὶ τὸ ὑπερμεγέθει καὶ βάθει καὶ μή-
κει καὶ πλάτει καταπλῆξαι δυνάμενον καὶ
τὸν ἀνθρώπινον λογισμόν, καὶ πρὸς δοξολογίαν
κινῆσαι τοῦ πλάσαντος. ὅτι γὰρ ὑπερμεγέθης
ἐστί, πολλοῖς μὲν ἀποδέδεικται. δῆλον ἐκ τοῦδε.
ὁ γὰρ Πτολεμαῖος ἐν τῇ μεγάλῃ συντάξει.
διὰ γεωμετρικῶν ἐφόδων, καὶ ἀναφηρίστων ἐ-
πιχειρημάτων ἀπέδειξε τὸν ἥλιον ἑκα-
τονταεβδομηκονταπλάσιον τῆς γῆς ὅλης
ὄντα. καὶ τινας δὲ τῶν ἐν αὐτοῖς ἀπλανέσι
λαμπροὺς ἀστέρων ὑπέδειξάν τινες ἑκατον-
ταεβδομηκονταπλάσιον τῆς γῆς ὄντας. χά-
ρις οὖν τῷ σοφῷ δημιουργῷ, ὅτι τοιοῦτον
μέγεθος καταληπτὸν ζώῳ τριπήχει πεποί-
ηκεν. ὁ δ' οὐδ' ἀρκεῖται μέχρι τούτου ἵστασθαι.
ἀλλ' ὡς σώματος καταφρονεῖ, καὶ εἰς ἀπει-
ρίαν περισκοπεῖ.

Περὶ τῆς ἀποστάσεως τοῦ
οὐρανοῦ.

Τοσοῦτον δὲ τῆς γῆς ἀφίσταται ὅσον ὑπερ-
κεῖσθαι ταύτης κατὰ πολύ, καὶ καταπλάττειν
ταύτην τῷ διαστήματι. καὶ τὰ ἐν αὐτῷ σώμα-
τα τῇ ἀποστάσει μὴ κρύπτεσθαι. περὶ δὲ τοῦ
ἐπίσης πανταχόθεν τῆς γῆς μετρῶν, εἴρηται
ἡμῖν ἱκανῶς. ἔνθα περὶ τῆς γῆς διεξήλθομεν.

Ὅτι οὐκ ἀναγκαῖα μόνον εἰσί τινα
τῶν ἐν τῷ οὐρανῷ, ἀλλὰ χρήσιμα
καὶ εὐτερπῆ.

c/ Ὥσπερ οὖν ὁ σοφὸς δημιουργός, οὐ μόνον
lego πρὸς σύστασιν προνοεῖται τῶν πρεσζυστῶν ταύτης ἀναγκαί-
ων. οἱονεὶ θεμελίων καὶ τοίχων καὶ ὀρόφων,
ἀλλὰ καὶ τῶν χρησίμων, οἱονεὶ θυρίδων. τα-
μιείων καὶ τῶν ὁμοίων. ἔστι δὲ καὶ τῶν ἐπι-
τερπῶν ὡς ζωγραφίας χρυσωμάτων, καὶ λί-
θων συνθέσεως πολυειδῶν. οὕτω καὶ ἡ θεία
πρόνοια, τὰ πάντα ἐν τῷ οὐρανῷ πρὸς τὰ
τῇδε τοῦ ἀναγκαίου χάριν ἐδημιούργησεν.
ἀλλὰ καί τινα τοῦ χρησίμου, καὶ τοῦ ἐπι-
τερποῦς. καὶ ἀναγκαία μὲν αὐτοῦ ἡ κίνησις.
ἀναγκαῖος δὲ καὶ ὁ ἥλιος καὶ ἡ κίνησις αὐ-
τοῦ. ἡ δὲ σελήνη, οὐκ ἀναγκαία, ἀλλὰ χρή-
σιμος. τὸ δὲ χῦμα τῶν πολλῶν ἀστέρων, ἐπι-
τερπές. ὥσπερ καὶ ἐν ἀρίστῃ οἰκίᾳ οἱ ὄροφοι
ἔχουσι ταῦτα πολλάκις. ἡ δὲ σελήνη εἰ καὶ
τοῦ χρησίμου μετέχει πλέον, ἀλλ' ἔστιν ἐν
αὐτῷ καὶ τὸ ἐπιτερπές. ὥσπερ καὶ ἐν πολυ-
τελεῖ οἰκίᾳ ἀναγεγραμμέναι θυρίδες ἔχουσι
πρὸς τῷ χρησίμῳ καὶ τὸ τοιοῦτον. τὸ δὲ τῶν
ἄλλων ἀστέρων χῦμα. εἰ καὶ τοῦ ἐπιτερποῦς
μετέχει πλέον, ἀλλ' ἔστιν ἐν αὐτοῖς καὶ χρή-
σιμά τινα. ἐν γὰρ ἀσελήνῳ νυκτί, φωτί-
ζει μικρὸν τὸν ἀέρα. καί τινες τούτων ὁδη-
γοὶ τοῖς ναυτίλοις γίνονται. καὶ τὰς τοῦ ἀέρος
καταστάσεις ἐπισημαίνουσιν. οἱ γὰρ πλανῆται
τὸ χρήσιμον μᾶλλον ἔχουσιν ἢ τὸ ἐπιτερπές.
τούτων οὖν οὕτω προϋποτεθέντων. λεκτέον καὶ
περὶ τῶν κατὰ μέρος ἐν τῷ οὐρανῷ σωμάτων.
καὶ σκεπτέον τὰς αἰτίας αὐτῶν. καθάπερ
καὶ ἐπὶ τοῦ ὅλου ἐδείχθη οὐρανοῦ. ἐπεὶ δὲ ἡ
σελήνη προσεχεστέρα ἐστὶν ἡμῖν τῶν λοιπῶν
ἀστέρων καὶ τοῦ ☉ προσακτέον τὴν περὶ
ταύτης σκέψιν. καὶ διεξιτέον πρῶτον τὰ
περὶ τοῦ σχήματος αὐτῆς.

Περὶ τοῦ τῆς ☾ σχήματος.

Σφαιροειδὴς τοίνυν ἐδημιουργήθη ὁ οὐρανὸς
διά τε τὰς προειρημένας αἰτίας τῆς τελει-
ότητος καὶ τιμιότητος τοῦ σφαιρικοῦ σχήματος.
καὶ διὰ τὸ εὐκινητότερον τοῦτο εἶναι τὸ σχῆμα
τῶν πολυγώνων σχημάτων. καὶ αὕτη μὲν κοινὴ
αἰτία πάντων τῶν ἐν οὐρανῷ ~~σωμάτων~~. ἅ-
παντα γὰρ τὰ οὐράνια σώματα, τοιούτου εὐ-
μοίρησε σχήματος, ἔχει δέ τινα τὸ σφαι-
ροειδὲς τῆς ☾ ἰδίαν αἰτίαν παρὰ τὰ λοι-
πὰ διὰ τοὺς φωτισμούς, εἰ μὴ γὰρ ἦν σφαι-
ροειδής, οὐκ ἂν ὑφίστατο τοιαύτην αὔξο-
μείωσιν. ὑποθώμεθα δὴ ταύτην δισκο-
ειδῆ δεδημιουργῆσθαι. ἐπεὶ τοίνυν ἀπὸ τοῦ
ἡλίου τὸ φῶς δέχεται, ὅλη ἂν ἐφωτίζετο
ὁπότε περιελάμπετο. μή τινων αὐτῆς ἐ-
πιπροσθουμένων μερῶν ὑπὸ τῆς τοῦ σφαι-
ροειδοῦς κυρτότητος. ἀλλ' ἅμα τὸ προσβα-
λεῖν τὸν ἥλιον ἐπί τι μόριον, τοῦ πρὸς ἡ-
μᾶς μέρους αὐτῆς τὴν ἀκτῖνα, εὐθὺς ἂν
ἐγίνετο πλησισέληνος. καὶ οὕτως ἄχρι τῆς
πρὸς τὸν ἥλιον διετέλει ἐγγύτητος. τηνι-
καῦτα γὰρ καὶ πρὶν ἢ συνοδεῦσαι, ὅλη ἐ-
σκοτίζετο. καὶ νύκτας ἱκανὰς ἐν σκοταφή-
νῃ διήγομεν.

le. x… vo…
puto δι… le. τῆς…

### Περὶ τῆς αὐξομειώσεως σελήνης.

Νυνὶ δ' σφαιροειδὴς οὖσα τοιούτους δέχεται τοὺς φωτισμούς, καὶ σχῆμα μηνιαῖον χρηματίζει τοῖς ἀνθρώποις. καὶ προσεχὴς οὖσα τῷ ἐν γενέσει καὶ φθορᾷ κόσμῳ, μιμεῖται τὴν αὐξομείωσιν αὐτοῦ. μόνη γὰρ παρὰ τὰ λοιπὰ τὰ ἐν τῷ οὐρανῷ σώματα· ὥσπερ γὰρ τὰ ἐν ἡμῖν σώματα, ἀπό τινος ἀρχῆς ἀρχόμενα αὔξει κατὰ μικρὸν καὶ προκόπτει τῇ ἡλικίᾳ ἄχρις οὗ τὸ τέλειον καταλάβῃ. εἶτα φθίνει καὶ κατ' ὀλίγον ἄχρι τῆς παντελοῦς φθορᾶς, οὕτω καὶ ταύτης τὰ φῶτα.

### Διατί ἡ ☾ παρὰ τοῦ ☉ δέχεται τὸ φῶς.

Ἐπεὶ ὁ αἰσθητὸς κόσμος, δεῖγμά ἐστι τοῦ νοητοῦ· εἷς δὲ ἐν ἐκείνῳ λαμπρύνει καὶ καταυγάζει τὰ σύμπαντα· οὕτως ἔδει καὶ τὸν ἥλιον μόνον φωτίζειν τὸν τῇδε κόσμον. καὶ μὴ ἔχειν κοινοῦ (le. κοινωνον) τὴν ☾ εἰς τὴν τοιαύτην ἐνέργειαν. ἀλλ' αὐτὴν μὲν δέχεσθαι παρ' ἐκείνου τὸ φῶς· ταύτην δέ, πρὸς τὰ τῇδε διαπορθμεύειν. καὶ οἱ φωτισμοὶ δὲ ταύτης οὕτως ἐτάχθησαν. ἵνα μήτε πάσας τὰς νύκτας φωτίζῃ καὶ ποιῇ ἴσας σχεδὸν ταύτας ταῖς ἡμέραις, μήτε στερεῖται τέλεον τὰ τῇδε τοῦ ἐν νυκτὶ φωτός. εἴπου τι χρειῶδες, καὶ ἀναγκαῖον ἔργον σχεδὸν τοῖς αὐτοῖς ἐν ταῖς νυξὶ πρόκειται. ὡς ὁδοιπορία, ἡ ναυτιλεία καὶ τὰ τοιαῦτα. καὶ ὅρα μοι ἐνταῦθα κἀν τοῖς ἄλλοις τὴν σοφωτάτην πρόνοιαν. ὅτε γὰρ ἀμυδρὸν ἔχει τὸ φῶς, δύνει διὰ τάχεος ὡς ἀλυσιτελής· ὅσον δὲ αὔξει, τοσοῦτον ὑπὲρ γῆν μένει. καὶ ἀνάλογον ποιεῖται τοῖς φωτισμοῖς τὴν ἄνωθεν διαμονήν. πλησισέληνος γὰρ γενομένη, πᾶσαν τὴν νύκτα διαρκεῖ. ἀλλὰ καὶ ἕτερον ἐστὶ ταύτης θαυμάσαι· ὅτε γὰρ αἱ νύκτες εἰσὶν ὀλιγοχρόνιοι, οὐκ ἐμβραδύνει ἄνωθεν ἡμῶν· ὡς καὶ τὴν ἡμέραν καταλαβεῖν. ὅτε δὲ ἐπιμήκεις γίνονται, μέχρις ἡμέρας πλησισέληνος οὖσα ἐξυπηρετεῖ. τὸ δὲ παρὰ τοῦ ἡλίου ταύτην δέχεσθαι τὸ φῶς, ἀνενδοίαστον. εἰ μήτις ἀμβλυωπῇ τοὺς νοεροὺς ὀφθαλμοὺς καὶ τυφλώττει πρὸς τὴν ἀλήθειαν. τινὲς γὰρ τό, ἐποίησεν ὁ θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους, προφέρουσιν εἰς μαρτυρίαν, τοῦ ἔχειν οἴκοθεν τὴν σελήνην τὸ φῶς· ἀλλ' ἴστωσαν οὗτοι, ὡς πᾶν τὸ φωτίζον, φωστὴρ λέγεται· κἂν οἴκοθεν ἔχει τὸ φῶς· κἂν παρ' ἄλλου φωτιζόμενον φωτίζῃ. μεγάλη δὲ ὠνομάσθη καὶ αὐτὴ ὅσον πρὸς τὸ φαινόμενον. καὶ ὅτι πολλῶν ἀστέρων συνελεύσεις οὐκ ἀποτελεῖ ἴσον ταύτῃ φῶς. οὐδὲ γὰρ πρὸς φιλοσόφους ἦν τῷ θείῳ μωσεῖ ὁ λόγος. ἀλλὰ πρός τινας ἰδιώτας καὶ τῶν ἀγοραίων χείρονας. ὅτι μὲν οὖν τῆς σελήνης λαμπρόν ἐστι καὶ ἀνθρακῶδες, δῆλον ἐν τῷ καιρῷ τῶν ταύτης ἐκλείψεων. πλὴν τὸ ἀκτινοβολεῖν ἐκ τοῦ ἡλίου αὐτῇ ἄρα προσγίνεται. καὶ δεκτικὸν μὲν οὖν ἐστι τὸ σῶμα ταύτης τοῦ φωτὸς καὶ λεῖον. εἰ γὰρ μὴ τοῦτο ἦν, ἀντανεκλῶντο ἂν ἀπ' αὐτῆς αἱ ἀκτῖνες.

### Περὶ τοῦ καλυμένου προσώπου τῆς σελήνης.

Ἔχει δὲ ἐν αὐτῇ τὸ καλύμενον πρόσωπον. ὅπερ διὰ δύο αἰτίας συνουσιῶται ταύτῃ. τραχύτης τις ὂν τῶν μερῶν ἐκείνων ἐν οἷς ἐμφένεται (leg. φαί). τὸ μὲν ἵνα γνῶμεν ἀκριβῶς· ὡς τὰ ἐν γενέσει καὶ φθορᾷ πάντα ἀτελῆ εἰσὶ καὶ δυσειδῆ· καὶ ὡς ἡ ἐν τούτοις τελειότης, οὐ τελείως κυριοῦται. οὐδὲ τὸ κάλλος, κάλλος. ἰδοὺ γὰρ ἡ σελήνη διὰ τὸ πλησιάζειν τοῖς τῇδε. εἰ καὶ ἐν οὐρανῷ ἐστίν, ἀλλ' οὖν ἔχει πολλὰς ἐλλείψεις· πρῶτον μὲν τὰς αὐξομειώσεις τῶν φώτων. εἶτα καὶ τὰς ἐλλείψεις καὶ τοῦτο τὸ πρόσωπον. ὅτε γὰρ τελεία εἶναι δοκεῖ καὶ πλησιφανής, ἀτελής ἐστι. διὰ τὰ εἰρημένα ἀφώτιστα μέρη τὸ ἡμισοῦ· ἵνα μὴ πλέον τοῦ δέοντος τῇ νυκτὶ φωτίζῃ. εἰ γὰρ μὴ οὕτω τὰ τοιαῦτα εἶχε μέρη ἐπιπλεῖον ἂν τὰ τῇδε κατηύγαζεν. ἐκφανηκοτέρας δὲ καὶ πλεῖον τοῦ χρησίμου τὰς ἐνεργείας ἐξέπεμπε. κινεῖται δὲ ἀπὸ δυσμῶν πρὸς ἀνατολάς, διὰ τὴν εἰρημένην κοινὴν αἰτίαν.

### Περὶ τῆς μηνιαίας τῆς ☾ ἀποκαταστάσεως.

Ποιεῖται δ' καὶ τὴν μηνιαίαν σχεδὸν ἀποκατάστασιν ἵνα καθάπερ ἀμυδρά τις ἡμέρα τὸ φῶς ἐστὶ ταύτης οὕτω καὶ μικρὸς ἐνιαυτὸς ἡ ἀποκατάστασις αὐτῆς, καὶ γὰρ οἱ πλείονες τῶν ἀνων. ὅταν ἴδωσι ταύτην ἀρξαμένην φωτίζες (leg. ζεσθ), λέγουσιν ἀρχήν τινα εἶναι μηνός. καὶ ὅτε πλησισέληνος γένηται, λέγουσι τὸν μῆνα μεσάζειν. καὶ ἐπὶ τῶν λοιπῶν σχημάτων αὐτῆς ὁμοίως. καθάπερ ἔσχον τὸ τοιοῦτον σημεῖον ἄραβες καὶ τὰ ἔθνη τῶν ἀγαρηνῶν μέχρι τοῦ νῦν καὶ

### Διατί τὴν ἡλιακὴν ὁδὸν ὑπερβαίνει ἡ ☾.

Τὴν τοιαύτην δ' τελεῖ κίνησιν. οὐκ ἐπὶ τοῦ τῶν ζωδίων κύκλου. ἀλλ'

ὑπερεκπίπτοι τοῦτον, καὶ ποιεῖται τὸ λεγόμενον πλάτος πρός τε βορρᾶν καὶ τὸν νότον. μοίρας γὰρ πέντε ὑπερβάλλει τὸν εἰρημένον κύκλον κατ᾽ ἀμφότερα τὰ μέρη· καὶ τοῦτο ποιεῖ διὰ δύο αἰτίας· πρῶτον μὲν, ἵνα μὴ καθ

ἐκλείπῃ καὶ

ἄχρηστος ἡ πλησιφανὴς

κα-

τὰ μῆνα γίνηται· εἰ γὰρ τὸ

υεκαὶ μὴ

ἀλλὰ πρόδηλον ὁρῶν τὴν ἐν ταύτῃ ἔκλειψιν διὰ τῆς ἐκλείψεως. δεύτερον δὲ, ἵνα καταυγάζῃ τὰ νοτιώτερα μέρη καὶ τὰ βορειότερα· καὶ ἐν ἀμφοτέροις τοῖς μέρεσι τὰς οἰκίας ἐνεργείας ἐμφαίνῃ· εἰ γὰρ μὴ τὴν τοῦ ἡλίου λόξωσιν ὑπερέβαινεν, οὐκ ἂν τὰ εἰρημένα μέρη τῆς γῆς τῶν ἐνεργειῶν αὐτῆς ἐπαπήλαυσε· διὰ τὸ εἶναι τὰς λαμπηδόνας ταύτης τῶν τοῦ ἡλίου ἀμυ

ὁ

γὰρ ἥλιος δυναμικώτερος ὢν

τὰς ἐνεργείας ἀφίησιν· ἡ δὲ οὐ τοιαύτη.

οὐδὲ ἀναποδίζει

νοι γὰρ τὰ τοι-

καθάπερ

αὐτὰ πάθη ὑφίστανται

τῷ δὲ τῷ

κόσμῳ καταπλεῖστον ὠφε-

κρη-

σιμωτάτην οὖσαν, οὐκ ἔ

πλέκεσθαι· ἔχει δὲ ἀντὶ

τῶν ἀριθμῶν

μεί

κίνησιν·

ποτὲ

ὁ δὲ μέγεθος τῆς σελήνης,

χωρὶς ἀναλογίας κατὰ τὸ μέγεθος.

## Διατί ὑψηλοτέρα καὶ χθαμαλοτέρα γίνεται ἡ ☾.

Περὶ τῆς ἀποστάσεως τῆς ☾.

Ἀφέστηκε δὲ τοσοῦτον ἡ σελήνη ὡς μήτε πόρρωθεν ἀποστᾶσα ἄδηλον ἔχει τὴν ἐνέργειαν ἢ καὶ τὸ σῶμα μήτε διὰ τὴν ἐγγύτητα πλείονα τοῦ δέοντος ἐνδείκνυσθαι τὴν δύναμιν· εἰ μὲν γὰρ ἐτάχθη κινεῖσθαι ἔνθα ὁ ἑρμῆς ἢ ἡ ἀφροδίτη, ἀμυδρὰν εἶχεν ἂν τὴν ἐνέργειαν· εἰ δ᾽ ἔνθα ὁ κρόνος, οὐδ᾽ ὅλως ἂν κατεφαίνετο· εἰ δὲ ἔνθα ὁ ἥλιος· ὥσπερ ἂν ἴσως ἀστὴρ ἐχρημάτιζεν· εἰ δ᾽ αὖ κάτωθεν πάλιν ἦν προσεχεστέρα ἡμῖν· ὁμαλολαμπεῖς ἂν ἐποίει ταῖς ἡμέραις τὰς νύκτας· καὶ ἐφώτιζε πλέον τοῦ δέοντος· καὶ τὰς ὑγρότητας ὑπερμέτρον ἐπεδαψίλευεν· ὁρῶμεν γὰρ καὶ ποταμοὺς καὶ πηγὰς καὶ θαλάσσας καὶ λίμνας συνμειούμενα τοῖς φωσὶν αὐτῆς καὶ συναυξανόμενα· ἔτι δὲ καρποὺς καὶ φυτὰ καὶ ζῶα καὶ σώματα.

## Διατί ὑψηλοτέρα καὶ χθαμαλοτέρα γίνεται ἡ ☾.

Θαυμαστὴ δὲ ἡ κατὰ τὸ ἀπόγειον αὐτῆς καὶ ὑπόγειον κίνησις· εἰ γὰρ μὴ ποτὲ μὲν ἀφίστατο τῶν τῇδε· ποτὲ δὲ ἐπλησίαζεν, ἢ τῇ ὑπερβολῇ τῶν διικνουμένων αὐτῆς πρὸς ἡμᾶς ἐνεργειῶν, ἔβλαπτεν ἂν ἀεὶ πλησιάζουσα· ἢ τῇ ἐλλείψει ἀφισαμένη ἐστερεῖτο τὸ χρήσιμον ἑαυτῆς· ἐτηρήθη γὰρ πρὸς ταῖς ἄλλαις αὐτῆς ἐνεργείαις, καὶ ἡ τοῦ ὠκεανοῦ παλίρροια· ταῖς κινήσεσιν αὐτῆς περιαγομένη· καὶ ταῦτα μὲν περὶ τῆς σελήνης.

## Περὶ τοῦ ἑρμοῦ.

Ἀνάγει δέ μοι ὁ λόγος ἐπὶ τὴν ἑρμαϊκὴν σφαῖραν· καὶ προτρέπει σκοπεῖν καὶ τὰ περὶ ταύτης· οὗτος οὖν ὁ ἀστὴρ βραχύτατός ἐστι πάντων τῶν ἐν τῷ οὐρανῷ· ἔχει δὲ ἐλλείψεις τινὰς διὰ τὸ πλησιάζειν τοῖς ἐν γενέσει καὶ φθορᾷ· καθάπερ ἐπὶ τῆς ☾ εἴρηται· πρῶτον μὲν τὸ βραχὺ τοῦ μεγέθους. εἶτα τὸ μὴ πλεῖον τῶν εἰκοσιεπτὰ μοιρῶν δύνασθαι τοῦ ἡλίου ἀφίστασθαι· καὶ τοὺς συνεχεῖς ἀναποδισμοὺς καὶ στηριγμοὺς καὶ προποδισμούς· καὶ τὸ πολλάκις ἐν κάρσιον καὶ ὕπαυγον γίνεσθαι· καὶ τὸ σπανίως ἡμῖν φαίνεσθαι.

## Διατί ὁ ἑρμῆς ὑπὲρ τῆς ☾ ἐτάχθη.

Ἐτάχθη δὲ ὁ ἑρμῆς καὶ ἐν χώρᾳ ἀνεστράφθαι καθ᾽ ἣν καὶ ἀστὴρ φαίνεται. εἰ γὰρ ἔνθα ἡ σελήνη ἐστὶν οὗτος ἀνεστρέφετο, ὑπὲρ ἀστέραν ἂν ἐφαίνετο κατὰ τὸ μέγεθος· εἰ δὲ ἔνθα ἡ ἀφροδίτη, τέλεον ἂν ἐκρύπτετο. ρω. ρων

## Διατί ὁ ἑρμῆς στίλβει.

Ἔστι δὲ καὶ σμικρός τις ἡλίου πρόδρομος· ὁπότε ἑῷος ἐστί· διὸ καὶ τὸ στίλβον αὐτῷ

χρῶμα

χρῶμα περιετέθη· ἵνα γνωρίζηται· καὶ στίλβοντα αὐτὸν οἱ παλαιοὶ ἐπὶ τούτῳ ἐκάλουν.

### Διατί πλησιάζει ὁ ἑρμῆς τῷ ☉ καὶ οὐκ ἀφίσταται.

Ἐμφαίνει δὲ ἡμῖν ὁ ἑρμῆς διὰ τῆς κινήσεως, μέγιστον δεῖγμα· τοῦ δεῖν τὸν ἥττονα καὶ χείρονα τοῖς μείζοσι καὶ κρείττοσιν ἕπεσθαι· οὐ γὰρ κατὰ πολὺ ὡς ἔφαμεν δύναται τοῦ ἡλίου ἀφίστασθαι· ἀλλὰ μέχρι τινὸς ἀποστὰς ἀναποδίζει πάλιν πρὸς τοῦτον φερόμενος.

### Διατί πάντες οἱ πλάνητες ἀναποδίζουσι.

Καὶ ἐπεὶ κοινά ἐστι ταῦτα πάθη τῶν πέντε πλανωμένων ἤγουν ἀναποδισμοὶ· προποδισμοὶ· καὶ στηριγμοὶ, φέρε τί καὶ περὶ τούτων κοινῶς εἴπωμεν· οἱ μὲν οὖν παλαιοὶ θεῖα δοξάζοντες εἶναι σώματα, ἀνοίκεια τούτοις ἐλογίζοντο τὰ τοιαῦτα πάθη· διὸ καὶ ὑποθέσεις τινὰς ὑπέθεντο· ἐπικύκλων τινῶν καὶ ἐκκέντρων κύκλων· καὶ ὁμοκέντρων καὶ τῶν τοιούτων. ἵνα διὰ τῶν τοιούτων δείξωσιν, ὡς ἡ ἐν τούτοις φαινομένη ἀνωμαλία, οὐκ ἀνωμαλία ἐστὶν· ἀλλ' ὁμαλὴ κίνησις· καὶ ἐπὶ μὲν τῶν συλλογισμῶν τὰ συμπεράσματα διὰ τῶν προτάσεων ἀποδείκνυνται· οἱ δὲ τὰς προτάσεις διὰ τῶν συμπερασμάτων περαίνουσιν· ἔλεγον γάρ, ὡς εἴγε ἔμφρων ἀνὴρ οὐκ ἀνέξηται ποτὲ τρέχων στηρίζειν καὶ ἀναποδίζειν εἶτα προποδίζειν, πόσῳ γε μᾶλλον τὰ θεῖα σώματα. ἐγὼ γὰρ οἶμαι τοιαύτην εἶναι τὴν αἰτίαν τῶν συμπτωμάτων· δήλη δ' ἔσται διά τινος σφυγμικοῦ παραδείγματος· ὥσπερ γὰρ ἔν τινι σφυγμῷ ὁμαλή ἐστι καὶ τεταγμένη κίνησις. ἐν ἑτέρῳ δὲ ἀνώμαλος ὁμοῦ καὶ ἄτακτος, οὕτω καὶ ἐν τῷ παντί· τὰ μὲν γὰρ νοητὰ πάντα καὶ ὁμαλῶς προβαίνει καὶ τεταγμένως. τὰ δὲ οὐράνια τεταγμένως μὲν, ἀνωμάλως δέ. κατὰ γὰρ τινὰς περιόδους ὡρισμένας οἱ προποδισμοὶ καὶ στηριγμοὶ καὶ ἀναποδισμοὶ γίνονται. τὰ δὲ ἐν γενέσει καὶ φθορᾷ πάντα, καὶ ἀνώμαλα καὶ ἄτακτα. οὔτε γὰρ ὁρῶμεν περιοδικὰς χειμώνων ὑπερβολὰς ἢ ὑετῶν ἢ ἀχλύων ἢ ἀνέμων ἢ καυμάτων· ἢ τινῶν τοιούτων· ἀλλ' ἔχει πάντα τὸ ἀόριστον καὶ ἀνώμαλον καὶ ἄτακτον· εἰ δέ τι τεταγμένον αὐτοῖς ἐμφαίνεται, οὐκ οἴκοθεν ἔχει τοῦτο, ἀλλ' ἐκ τῶν θείων. ὥσπερ ὁρῶμεν τὰς τῶν τεσσάρων ὡρῶν τοῦ ἔτους ἀποκαταστάσεις καὶ τὰ νυχθήμερα· νόει οὖν κατὰ τόνδε τὸν λόγον, πάντα τὰ σώματα· καὶ οὐκ ἔστιν ἰδεῖν ἐν τοῖς οὖσι σῶμα τεταγμένον ὁμοῦ ἔχον καὶ τὸ ὁμαλόν· ἐκτὸς ἡλίου καὶ τῆς πρώτης περιφορᾶς· καὶ ξένον οὐδέν. εἰ γὰρ πᾶν σῶμα ἐξ ὕλης καὶ εἴδους σύγκειται, οὐκ ἀμοιρήσει τῶν τῆς ὕλης κακῶν.

### Περὶ τῶν τοῦ ἑρμοῦ ἰδιοτήτων.

Ἔχει δέ τινας ὁ ἑρμῆς ἰδίας ἐπισημασίας. βροντῶν γὰρ καὶ ἀστραπῶν καὶ κεραυνῶν σημαντικός ἐστι· καὶ μάλιστα συνοδεύων τῷ ἄρει· εἰ
πρὸς τούτοις καὶ ξένην καὶ ὑπερφυᾶ ἑτέραν ἰδιότητα· ἐνίοτε γὰρ ἔστιν ἐκεῖσε καὶ οἱ κομῆται φαίνονται καὶ τὰ ἐν οὐρανῷ τέρατα· ἀνατολικοῦ γὰρ ὄντος ἐν τῇ ἀνατολῇ ὁ κομήτης καὶ τὰ τέρατα φαίνεται· ἑσπερίου δὲ ἐν τῇ δύσει:

### Διατί ἡ ἀφροδίτη οὐ κατὰ πολὺ τοῦ ☉ ἀφίσταται.

Ἡ δὲ ἀφροδίτη τὸ ὑπὲρ τοῦτον κινεῖται. καὶ αὐτὴ οὐκ ἐλευθέρας ἔτυχε τῆς κινήσεως, ὥσπερ τὰ ὑπὲρ ταύτην· ἀλλὰ πλεῖον μὲν τοῦ ἑρμοῦ ἀπὸ τοῦ ἡλίου ἀφίσταται· καὶ γὰρ μέχρι μη΄ μοιρῶν τὴν μεγίστην ποιεῖται ἀπόστασιν· διάτε τὴν εἰρημένην καὶ ἐπὶ τοῦ ἑρμοῦ αἰτίαν. ἔτι δέ, καὶ διὰ τὸ τὸν ἥλιον δορυφορεῖν. ἔδει γὰρ δορυφορεῖσθαι παρὰ τοῦ δορυφορουμένου ἡμῖν ἀστέρος τῶν λοιπῶν λαμπροτέρου· διὸ καὶ φωσφόρος ὀνομάζεται. καὶ ἑωσφόρος. ἑῶα γὰρ χρηματίζουσα καὶ ἔξαυγος, πρόδρομος καὶ προκήρυξ ἀληθέστατος τῆς τοῦ ἡλίου ἀνατολῆς γίνεται· προανατέλλει γὰρ τούτου καὶ πᾶσι προμηνύει ἀριδηλότατα ὡς ἡ νὺξ πέρασται· οὐ μόνον τοῖς τῶν κατ' οὐρανὸν εἰδήμοσιν, ἀλλὰ καὶ αὐτοῖς τοῖς ἀγροικοτέροις τῶν ἀνθρώπων. τίς γὰρ οὕτως ἀσύνετος ὃς ἰδὼν αὐτὴν τοῦ ἀνατολικοῦ ὁρίζοντος ὑπερκύπτουσαν, οὐ διαγνώσεται ὡς ἐγγὺς ἡ ἡμέρα. καὶ ὡς δεῖ πρὸς τὸ προκείμενον ἔργον προευτρεπίζεσθαι· τίς δὲ ταύτην ἑσπερίαν ὁρῶν, οὐκ εἴσεται ὡς ἀκρονυχία ἐστὶ κἂν πᾶσαν τὴν ἡμέραν ἐκάθευδε:

### Διατί οὐ συνεχέστερον ἀναποδίζει ἡ ἀφροδίτη.

Οὐκ ἀναποδίζει δὲ ἡ ἀφροδίτη ὥσπερ ὁ ἑρμῆς συνεχέστερον· ἀλλ' ἐνιαυτὸν παρ' ἐνιαυτόν. διὰ τὸ χρειῶδες τῆς σημασίας αὐτῆς. τὸν γὰρ κήρυκα καὶ ἀγγελιοφόρον οὐ δεῖ πλανᾶσθαι συνεχέστερον· ἵνα μὴ ἀπιστῆται καὶ ἀβέβαιος φαίνηται· τὰ αὐτὰ δὲ περὶ τοῦ μεγέθους καὶ τῆς ἀποστάσεως δεῖ νοεῖν· ἃ καὶ ἐπὶ τοῦ ἑρμοῦ εἴρηται.

### Περὶ τοῦ ἡλίου.

Ἐπεὶ δὲ περί τε τῆς σελήνης καὶ τοῦ ἑρμοῦ, καὶ τῆς ἀφροδίτης προχειρότατα διεξήλθομεν,

φέρε τι καὶ περὶ τοῦ μεγάλου φωστῆρος καὶ ἀναγκαιοτέρου τῶν ἄλλων· καὶ ὀφθαλμοῦ τοῦ ὁρατοῦ κόσμου εἴπωμεν· καὶ ὀψόμεθα δι' αὐτοῦ καὶ τῆς ἐν αὐτῷ ἀφάτου σοφίας, τὸν νοητὸν ἥλιον· ὀρθότατα γὰρ καὶ σοφώτατα ὁ μέγας πατὴρ καὶ τῆς θεολογίας ἔξαρχος ἔφη τὸν αὐτὸν λόγον ἔ τοῦτον, πρὸς τὰ αἰσθητά, ὃν τὸ θεῖον πρὸς τὰ νοητά.

leg. ἔχειν

ἅπαν γὰρ τὸ φῶς ὁ δημιουργὸς ἐν τούτῳ περιέκλεισε· καὶ κέντρον καὶ πηγὴν καὶ ῥίζαν πεποίηκε τοῦ φωτός. ἐρρέτωσαν οἱ τὸ φῶς δοξάζοντες ἕτερόν τι παρὰ τὸν ἥλιον· διὰ τὸ προδεδημιουργεῖσθαι. κατὰ γὰρ τὴν α' ἡμέραν, ἅπαν ἐν τῷ ἡλίῳ συνεστάλη· διὸ καὶ ὁ θεολόγος τὸ τοιοῦτον ἐκπλήττεται δημιούργημα· ὡς ἐπὶ τῶν ἄλλων, τῆς ὕλης τοῦ εἴδους προϋποστάσεις. ἐπὶ δὲ τοῦ ἡλίου, τοῦ εἴδους πρὸ τῆς ὕλης. ἀλλ' ἐπεὶ τὴν προκειμένην ἡμῖν δοξολογίαν χωρήσωμεν· τοὺς τῶν πολλῶν λόγους χαίρειν ἐάσαντες. σφαιροειδὴς τοίνυν ἐδημιουργήθη διὰ τὸ προειρημένον περὶ τῶν λοιπῶν λόγων:

leg. ης — leg. ἐπὶ — leg. ον

## Περὶ τοῦ μεγέθους τοῦ ἡλίου.

μείζ os

Περὶ τοῦ μείζονα γὰρ πάντων τῶν ἀστέρων καὶ τῆς σελήνης καὶ τῆς γῆς, εἰκότως· τὸ μὲν ὅτι ἔδει τὸ τιμιώτατον καὶ λυσιτελείᾳ διαφέρον, ὑπερέχειν καὶ τῷ μεγέθει, τὸ δὲ ὅτι εἰ τῇ γῇ ἴσος ἢ ἐλάττων ἦν, μεγάλα ἂν συμπτώματα μοχθηρὰ καὶ ἀηδῆ καὶ πημαντικὰ περὶ τὸν κόσμον ἐγίνοντο. οὔτε γὰρ ἡ σελήνη ἡμῖν νυκτὸς ἐφαίνετο, οὔτε οἱ πλείους τῶν ἀστέρων ὑπὸ τῆς σκιᾶς τῆς γῆς καλυπτόμενοι· καὶ ἄκρατος ζόφος ἡ νὺξ ἦν, ἀστέρων ἀμοιροῦσα καὶ σελήνης. ὅτι δὲ οὕτω συνέβαινεν ἂν εἰ τηλικοῦτος ἦν ὁ ἥλιος καὶ ἄλλοις μὲν πρότερον εἴρηται. εἰρήσεται δὲ καὶ παρ' ἡμῶν συνοπτικῶς. πᾶν τὸ φωτίζων, ἢ μεῖζόν ἐστι τοῦ φωτιζομένου σώματος, ἢ ἴσον ἢ ἔλαττον.

leg. ον

ἀλλ' εἰ μὲν μεῖζον ἐστί, κωνοειδῆ ποιεῖ τὴν σκιὰν καὶ πεπερασμένην καὶ εἰς ὀξὺ λήγουσαν. εἰ δὲ ἴσον, εἰς ἄπειρον προϊοῦσαν διὰ δύο παραλλήλων γραμμῶν· μηδέποτε πρὸς ἀλλήλας συμπιπτουσῶν. εἰ δὲ ἔλαττον, καλαθοειδῆ· ἀπὸ μικροῦ ἀρχομένην μεγέθους καὶ εὐρυνομένην ἐπ' ἄπειρον.

## Διατί ὁ ☉ μείζων ἐδημιουργήθη τῆς γῆς καὶ τῆς ☾.

Διὰ τοῦτο γοῦν μείζονα τῆς γῆς ἡ προμηθεστέρα πρόνοια τὸν ἥλιον ἐδημιούργησεν, ἵνα μὴ τὰ εἰρημένα πάθη τῆς σκιᾶς ἐπισυμβαίνοντα, σκοτίσῃ τὰ κατ' οὐρανόν· καὶ ζοφώσῃ τὰ ἐπὶ τῆς γῆς. ἀλλ' εἰ μὲν σκιὰ κωνοειδὴς οὖσα τὴν νύκτα ἀποτελεῖ· καὶ καταλαμβάνει τὸν οὐρανὸν τὸ βραχὺ καὶ λεπτὸν ἄκρον αὐτῆς. ἐξ οὗ καὶ αἱ σεληνιακαὶ ἐκλείψεις γίνονται. ἐπαπολαύει δὲ τὰ τῆδε τῆς ἐκ τῶν ἄνω πάντων λαμπρότητος. ἐξ οὗ δὲ καὶ ἐνταῦθα ἐπαπορῆσαι τινὰ καὶ λῦσαι. διατί ἀπέλεται ὅλος τῆς οὐσίας σφαίρας τὸ τῆς γῆς ἀποσκίασμα· καὶ μέχρι τοῦ ὑπεκκεχυμένου περαίνεται. πρὸς ὃ λεκτέον ὅτι σοφῶς καὶ τοῦτο ἀρχῆθεν ἐτάχθη οὕτως. τὸ μὲν ἵνα αἱ σεληνιακαὶ ἐκλείψεις κατά τινας περιόδους γίνωνται. κἀντεῦθεν διαγνῶμεν τὴν σελήνην μὴ οὖσαν θεόν. ὥς τινες τῶν ἑλλήνων ἐδόξαζον. τὸ δὲ ἵνα διὰ τῆς τοιαύτης σκιᾶς καταλαμβάνωμεν τὰ μεγέθη τῆς σελήνης καὶ τοῦ ἡλίου. καὶ τὰ μεταξὺ τούτων καὶ τῆς γῆς διαστήματα. καὶ δοξάσωμεν τὸν δημιουργὸν καὶ θαυμάσωμεν τὴν ἀπειροδύναμον αὐτοῦ ἰσχὺν καὶ μεγαλοπρέπειαν. ἄνευ γὰρ τοῦ τῆς γῆς ἀποσκιάσματος, οὐκ ἦν ἀκριβῶς διαγνῶναι· ὡς τόσον μὲν ἔχει μέγεθος ὁ ἥλιος· τόσον δὲ ἡ σελήνη. οὐδὲ τοσοῦτον ἀπέχει τῆς γῆς. δῆλα γὰρ ταῦτα ἔσονται, τῷ τὴν μεγίστην σύνταξιν τοῦ πτολεμαίου διεξιόντι· οὕτως ἄρα ὁ τῆς σοφίας ἐκείνης βυθὸς ὑπερεπλημμύρησεν, ὡς πάντα κατὰ ἁρμονίαν δημιουργῆσαι· καὶ οὕτως ἡ παντοδύναμος ἐκείνου ἰσχὺς ὑπερίσχυσεν, ὡς τηλικαῦτα μεγέθη σωμάτων παραγαγεῖν καὶ κινεῖν· οὕτω γὰρ καὶ ἡ χρηστότης ὑπερεξεχύθη, ὡς μὴ μάτην ταῦτα παραχθῆναι καὶ κινεῖσθαι. ἀλλ' ἕνεκα τῆς ἡμετέρας λυσιτελείας καὶ τοῦ συμφέροντος. ἐγὼ μὲν ἐκπλήττομαι τὸν λογισμὸν καὶ ἔκθαμβος γίνομαι, ὅταν τὸ ἡλιακὸν διαλογίσωμαι μέγεθος. ὡσαύτως καὶ τὸ τῶν λοιπῶν οὐρανίων σωμάτων. καὶ μάλιστα ὅταν ἴδοιμι ταῦτα πάντα θέσιν καὶ κίνησιν ἔχοντα, καὶ ἀφορῶντα πρὸς τὴν ἡμετέραν ὠφέλειαν. τί γάρ ἐστιν ἄνθρωπος ὅτι ἐμνήσθη αὐτοῦ τοσαῦτα κατὰ τὸν προφήτην ὁ θεὸς καὶ τὰ ἑξῆς:

## Διατί λοξῶς κινεῖται ὁ ☉.

Ὅταν γὰρ ἴδω τὸν τοιοῦτον ἥλιον μὴ ἐκ παραλλήλου κύκλου κινούμενον ἀλλ' ἐπὶ λοξοῦ, ἐξίσταμαι τὴν διάνοιαν. καὶ οὐκ ἔχω ποῖον ὕμνον ἐπάξιον ἢ εὐχαριστίαν ἀνάλογον τῷ μεγέθει τῶν εὐεργετημάτων προσοίσω.

διαλόγισαι τοίνυν ὅσα ἂν συνέβαινον, ἐναντία ἢ ἐπὶ παραλλήλου κύκλου ἐκινεῖτο καὶ μὴ ἐποίει τὴν λόξωσιν. πρῶτον μὲν γὰρ ἐκινδύνευε τὸ ὑπὸ τὸν παράλληλον κύκλον ἐκεῖνο μέρος τῆς γῆς, ὅλον ὑπεροπτηθῆναι καὶ διαφθαρῆναι. ἄχρι καὶ αὐτοῦ τοῦ κέντρου. ὁ γὰρ ἥλιος τῇ ἀπὸ τόπου εἰς τόπον μεταβάσει ἀναψυχὴν δίδωσι ταῖς χώραις μεγίστην. αἳ κατὰ κάθετον γίνονται. ἀμέλει τοι καὶ νῦν οἱ ὑπὸ τὸν ἰσημερινὸν οἰκοῦντες ἱκανῶς τῆς τοῦ ἀέρος εὐκρασίας ἀπολαύουσι. διὰ τὴν τοῦ ἡλίου μετάβασιν ὡς ἱστορεῖ Ποσειδώνιος. καὶ ὡς οἱ ἀπὸ τῶν ἐκεῖσε μερῶν ἐπὶ τὰ ἡμέτερα κλίματα παραγεγονότες ἡμῖν διηγήσαντο. εἶτα οὐ μόνον οἱ ὑπὸ τὸν παράλληλον κύκλον ἐκεῖνον χώρα ἀοίκητος ἦν, ἀλλὰ καὶ πλησίον διὰ τὴν ὑπερβολὴν τῆς θερμότητος καὶ τὴν τοῦ ἡλίου ἐπιμονήν, ἄχρι καὶ εἴκοσι μοιρῶν διαστήματος ἢ καὶ πλείονος, καὶ αἱ μετὰ ταύτας χῶραι, ὀλίγαι ἂν ἦσαν πάνυ καὶ στενοχωρόταται αἱ τῆς εὐκρασίας τοῦ ἀέρος μικρόν τι μεταλαμβάνουσαι. ἀνόνητοι δὲ πᾶσαι καὶ ἀτελεσφόρητοι. μήτε χειμῶνος ἐν αὐταῖς γινομένου διὰ τὴν τοῦ ἡλίου ἀπόστασιν μήτε θέρους διὰ τὴν ἐγγύτητα. μήτε ἔαρος διὰ τὸ μὴ προηγεῖσθαι χειμῶνα. μήτε πώρου διὰ τὸ μὴ προηγεῖσθαι θέρος. τὰ δὲ τούτων ἐπέκεινα διὰ πάντως διὰ τὴν τῆς ψύξεως ὑπερβολὴν ἀοίκητα οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ πᾶσι τοῖς ζώοις. καὶ τῶν χειμερίων μηδὲν ἀποδέοντα. καὶ ὅλη ἄρα ἡ γῆ, διὰ τὰς ἐκ τῆς τοιαύτης κινήσεως ὑπερβολικὰς καταστάσεις καὶ τὸ ἀνάρμοστον, ἀοίκητος ἔμεινεν. ἀληθείᾳ πρόνοια προμηθουμένη τῶν καθ' ἡμᾶς, ἐπὶ λοξοῦ κύκλου τοῦτον ἐκίνησε. καὶ ὅρα μοι πῶς ἑτέρως ἡμῖν οὐκ ἂν ἐγίνετο λυσιτελεστέρα ἡ κίνησις. διὰ γὰρ ταύτης οὕτως ἐχούσης καὶ τὰ πλείονα μέρη τῆς γῆς οἰκεῖται. καὶ εὐκρασίαι ἀέρων ἐν τόποις γίνονται. καὶ αἱ τῶν ἐτῶν περίοδοι εὐτάκτως περιχωροῦσι. καὶ αἱ τῶν φυτῶν γενέσεις καὶ τῶν ζώων παμπληθεῖς ἀποτελοῦνται. καὶ ἡ ἄνωθεν δαψιλὴς ἐπιβραβεύεται. καὶ ἔστιν οἰκήσιμος, διὰ τοῦδε τοῦ τρόπου. καὶ οἱ ὑπὸ τὸν ἰσημερινὸν χώρα ἄχρι καὶ τῆς ὑπὸ τὸν θερινὸν τροπικὸν καὶ τὸν χειμερινόν. οὐ μόνον δὲ αὗται, ἀλλὰ καὶ αἱ λοιπαὶ ἄχρι καὶ τῆς ὑπὸ τὸν ἀνταρκτικὸν κύκλον, ὡς ἐν τοῖς γεωγραφικοῖς ἀποδέδεικται. καὶ ὡς ἡμεῖς ἐν ἑτέρῳ συντάγματι διεσαφήσαμεν ἐναργέστατα.

## Διατί ἡ τοῦ ἡλίου λόξωσις κδ΄ μοιρῶν ἀμφοτέρωθεν.

Θαυμαστὴ δὲ καὶ ἡ μέχρι τῶν κδ΄ μοιρῶν ἐγγίσα τοῦ ἡλίου λόξωσις. πρός τε βορρᾶν καὶ τὸν νότον. ὑποθώμεθα γοῦν τὴν λόξωσιν, μὴ τοσαύτην εἶναι. ἀλλ' εἴκοσι τυχὸν μοιρῶν. καὶ ἴδωμεν πόσαι χῶραι ἂν ἔμειναν ἀοίκητοι διὰ τὸ ψῦχος. τοῦ ἡλίου μὴ προσεγγίζοντος τοῖς βορειοτέροις μέρεσιν. ἐννόησον δέ μοι, ὅπως διὰ τὸ μὴ πολὺ τὸν ἥλιον ἀφίστασθαι ἔμελλεν εἶναι ἡ ὑπὸ τὸν ἰσημερινὸν χώρα. ὡσαύτως καὶ πᾶσαι αἱ μεταξὺ τούτου καὶ τοῦ χειμερινοῦ τροπικοῦ, πάντως ἀοίκητοι διὰ τὰς τῆς θερμότητος ὑπερβολάς. οἱ μὲν γὰρ ὑπὸ τὸν ἰσημερινὸν οἰκοῦντες, ἄνεσιν οὐκ ὀλίγην δέχονται διὰ τῆς εἰρημένης τοῦ ἡλίου ἀποστάσεως ἐπ' ἀμφότερα τὰ μέρη. οἱ δὲ ὑπὸ τὸν θερινόν, διὰ τὴν ὑπὸ τὸν χειμερινὸν τροπικὸν αὐτοῦ μετάστασιν. ἀπέχοντος σχεδὸν ὅτε ἐπ' ἐκεῖνο παραγένηται τοῦ κατὰ κορυφὴν αὐτοῖς μοίρας μη΄. ἡ οὖν ἡ λόξωσις εἰκοσιμοιριαία ἦν, ἔδει τὴν μεγίστην ἀπόστασιν ἐξ αὐτῶν γίνεσθαι τεσσαρακονταμοιριαίαν. καὶ ἐπεὶ τεσσαρακοντα ὀκτὼ μοιριαίας οὔσης τῆς διαστάσεως, κατάκορως εἰσὶ μέλανες οἱ ἐν ταύταις ταῖς χώραις καὶ ταῖς ἐνδοτέρω οἰκοῦντες, εἰ μὴ ἀναψυχήν τινα ἐλάμβανον ἐκ τῆς τοσαύτης ἀποστάσεως, οὐδεὶς ἂν αὐτῶν οἰκεῖν ἐκεῖσε ἠνέσχετο. πάλιν τοίνυν ὑποθώμεθα τὴν λόξωσιν τριακονταμοιριαίαν. σκεπτέον τίνα ἂν συνέβαινε. καὶ εἰ ἄρα λυσιτελὴς ἦν ἡ τοιαύτη τῆς ἐπὶ τῆς γῆς, ἢ πημαντική. τινὲς γὰρ ἔδοξαν ὅτι εἴπερ οὕτως ἦν τοῦ ἡλίου πολλὰς χώρας καταλαμβάνοντος, πολλαὶ ἂν ἦσαν καὶ οἰκήσιμοι. ἀγνοοῦσι || δὲ ὡς εἴγε οὕτως τοῦτο ἐδημιουργήθη, αἱ πλείους ἂν ἦσαν ἀοίκητοι ὡς δειχθήσεται. μεγίστη μὲν οὖν κακία ἀέρων χώραις· ὅταν κατὰ τὸν φάμενον ποιητὴν ἢ χειμῶνι κακὴ διὰ τὴν τοῦ ψύχους ὑπερβολήν, θέρει δ' ἀργαλέη διὰ τὴν τῶν καυμάτων. οὐδέποτε δὲ ἐσθλὴ δι' ἀμφότερα. τοῦτο οὖν τὸ πάθος ἐν ταῖς πλείοσιν ἂν τῶν νῦν εὐκράτων χωρῶν ἦν, εἰ τοσαύτη λόξωσις ἦν. γυμνάσωμεν δὲ τὴν ὑπόθεσιν ἐπὶ τοῦ τετάρτου κλίματος, ἔνθα τὸ ἔξαρμα τοῦ πόλου ἤγουν ἡ ἀπὸ τοῦ ἰσημερινοῦ ἀποχὴ μοιρῶν ἐστὶ λϛ΄. ὁ τοίνυν ἥλιος ἐπὶ τοῦ θερινοῦ τροπικοῦ γεγονὼς τὴν τοῦ ἀέρος κατάστασιν ἐν τούτῳ τῷ κλίματι τοιαύτην ἂν ἐποίει, οἵαν νυνὶ ἐν τῷ τρίτῳ τῷ διὰ τῆς Αἰγύπτου καὶ πνιγηρὸν τὸ θέρος ἐργάζεται. ὅτε δὲ ἐπὶ τὸ χειμερινὸν

|| Hic incipit in MS. quaternio ...

τὸ τροπικὸν παρεγένετο, τοιοῦτον ἂν ἀπετέλει τὸν χειμῶνα, οἷον ἐν τῷ ζ' κλίματι. ἔδει γὰρ ἀφίστασθαι τοῦτον τοῦδε τοῦ τόπου τῷ τηνικαῦτα μοίρας ξϛ. καὶ ποῖα σώματα λογικῶν ἢ ἀλόγων ὑπήνεγκαν ἄν, τὰς τοιαύτας ὑπερβολὰς ἐλλείψεις. καὶ εἰ ἐπὶ τοῦ τετάρτου κλίματος οὕτω, πόσῳ γε μᾶλλον τὸ ψῦχος ἐπετείνετο ἂν ἔν τε τῷ ἕκτῳ καὶ τῷ ζ'; ἀλλὰ καὶ ἐν τοῖς πρὸ τούτων κλίμασιν, οὐκ ὀλίγη ἀνωμαλία ἐγίνετο. ὥστε σοφῶς ὁ σοφὸς δημιουργός, μέχρι τῶν κδ' ἔγγιστα μοιρῶν ἔκλεισε τὴν τοῦ ἡλίου λοξότητα. ἀλλὰ καὶ μέσην ταύτην τοῦ οὐρανοῦ τέθηκε· τοῦ ἴσου ἀεὶ προμηθούμενος· ἵνα μὴ μᾶλλον τόδε τὸ μέρος τῆς γῆς, τοῦ ἑτέρου μέρους πλείονος τυγχάνῃ τῆς ἐλλάμψεως ἢ τῆς θερμότητος. ἀλλὰ τῆς τοιαύτης ἰσορρόπου κινήσεως, σύμπασα ἡ γῆ ἀναλόγως λαμβάνουσα τῶν ἐξ αὐτοῦ διϊκνουμένων ἐνεργειῶν, διατηρῆται ἀλώβητος.

ἐν τισίν

### Περὶ τῆς τροπικῆς βραδυτῆτος τοῦ ἡλίου τοῦ θερινοῦ καὶ τοῦ χειμερινοῦ.

Ἄγαμαι δὲ πρὸς τούτοις, καὶ τὴν ἐν τοῖς τροπικοῖς αὐτοῦ σημείοις βραδυτῆτα. καὶ τὴν πρὸς τὸ ἰσημερινὸν ταχύτητα. εἰ μὴ γὰρ ταχέως διήρχετο τὸ ἰσημερινὸν μέρος, οὐκ ἄν τις ᾤκει τὰ μέρη ἐκεῖνα διὰ τὴν τῶν καυμάτων ὑπερβολήν. εἰ δ' αὖ πάλιν ἐπέμενε τῷ θερινῷ τροπικῷ, οὐκ ἂν τὰ πορρωτέρω κλίματα καταχόρως ἐπαπήλαυε τῆς τούτου θερμότητος. οὐ δὲ πεπείρους εἶχέ τις ἰδεῖν τοὺς ἐκεῖσε καρπούς. ἀλλ' ἐπεὶ οὐκ ἐνεδέχετο πορρωτέρω γενέσθαι τὴν λόξωσιν, διὰ τὰς εἰρημένας αἰτίας, ἀντὶ ταύτης τὴν ἐκεῖσε διαμονὴν αὐτοῦ ὁ προμηθεὺς νοῦς ἐσοφίσατο. καθάπερ γὰρ εἴ τις ἄριστος βασιλεὺς διὰ σύστασιν καὶ βελτίωσιν τῶν ἰδίων ἐξελθὼν χωρῶν· τὰ μὲν ἔγγιον οἷα μὴ πολλῆς φροντίδος δεόμενα, διέρχεται τάχιον. ἐμμένει δὲ ταῖς οἰκίαις ἄκραις ὡς πορρωτέραις· καὶ πλείονος ταύτας ἀξιοῖ ἐπιμελείας. οὕτω καὶ ὁ φωστὴρ οὗτος ἐτάχθη παρὰ τοῦ πρώτου φωτός· ὥστε τὸν ἰσημερινὸν καὶ τὰ πλησίον αὐτοῦ τάχιον διατρέχειν· πρὸς δὲ τῷ τέλει τῆς λοξώσεως ἐμβραδύνειν· ταῦτα δὲ ὅτε λέγομεν δεδημιουργῆσθαι οὕτω, μὴ ὑποληπτέον ὡς ἄνευ φυσικῆς αἰτίας τελεῖται ἢ συμβαίνει· ἀλλ' ἔχει μὲν αἰτίας φυσικάς· ὁρᾷ δὲ πρὸς τὸ τέλος ὃ λέγομεν. τοῦ γὰρ ταχέως διέρχεσθαι τὸν ἥλιον τὸν ἰσημερινόν· αἴτιον τὸ ἐπὶ τοιᾶσδε περιφερείας τηνικαῦτα κινεῖσθαι· τοῦ δὲ βραδύνειν τοῖς ἐπὶ τοῖς τροπικοῖς τὸ ἐπὶ τοιᾶσδε·

### διατί ἐν τοῖς βορειοτέροις χώραις μείζους αἱ θεριναὶ ἡμέραι.

Οὐ μὴν ἀλλὰ καὶ ἕτερόν ἐστιν ἰδεῖν παράδειγμα· καὶ οἱονεὶ πόρισμα· ἐπισυμβαίνοντα μέγιστα τῇ οἰκουμένῃ λυσιτελοῦν. ἔνθα γὰρ ὑπερβολικὴν ἔχει τὸ μέρος τὴν θερμότητα, ἐκεῖσε τῷ τότε καὶ ἡ ἡμέρα βραχεῖα· οἷον ἐν τῷ διὰ μερόης κλίματι· ἡ γὰρ μεγίστη ἐν τούτῳ ἡμέρα, ὡρῶν ἐστιν ἰσημερινῶν ιβ καὶ ἡμισείας· ἔνθα δὲ ὑπερβολικόν ἐστι τὸ ψῦχος, ἐκεῖσε καὶ μείζων ἡ ἡμέρα καὶ ἐκτεταμένη· οἷον ἐν τῷ ζ' κλίματι· ἐκεῖσε γὰρ ἡ μεγίστη ἡμέρα, ὡρῶν ἐστιν ἰσημερινῶν, ιϛ. πλείων δὲ ἡ αὐξομείωσις αὕτη τῶν νυχθημέρων λυσιτελεῖ τοῖς ἔνδον τοῦ τροπικοῦ οἰκοῦσιν. εἰ γὰρ ἡ μεγίστη ἡμέρα παρ' αὐτοῖς ἦν ὡρῶν τοσούτων, κατεφλέχθησαν ἂν πρὶν ἢ καταδῦναι τὸν ἥλιον· τὰ δὲ μεταξὺ τούτων κλίματα, ἀνάλογον τῇ ἀποστάσει καὶ τὴν αὐξομείωσιν τῶν νυχθημέρων κέκτηται.

### διατί ὁ ἥλιος ποτὲ μὲν πλησιάζει τῇ γῇ, ποτὲ δὲ ἀφίσταται.

Ἔχει δὲ ὁ ἥλιος ἀπόγειον καὶ ὑπόγειον· ὥσπερ καὶ οἱ πλανῆται καὶ ἡ σελήνη· καὶ τοῦτο σοφῇ οἰκονομίᾳ διατεχθέν. ὅτε γὰρ ἄρχεται τῷ θερινῷ τροπικῷ πλησιάζειν, ἀπόγειος γίνεται· ἵνα μὴ διπλασιασθῇ ἡ ἐκ τούτου θερμότης. διά τε τὸ πλησιάζειν τοῖς κατὰ κορυφὴν σημείοις· καὶ τὸ πλησίον εἶναι τῆς γῆς. ἀλλ' ὅτε ἄρχεται πλησιάζειν τοῖς τροπικοῖς τὴν μεγίστην ποιεῖται ἀπὸ τῆς γῆς ἀπόστασιν· φειδόμενος ὡσανεὶ τῶν ὑπ' αὐτόν. ἵνα μὴ τῷ ὑπερβάλλοντι τῆς τῶν ἄκρων σφοδρότητος, βλάψῃ ταῦτα. συνάπτει γοῦν τῇ γειτνιάσει ἡ ἀπόστασις· καὶ τῇ ἀποστάσει, γειτνίασις. ὅταν δὲ ἀφ' ἡμῶν μακρύνῃ· καὶ πρὸς τῷ χειμερινῷ τροπικῷ γένηται, ὑπόγειος γίνεται. ἵνα τὴν ἀπόστασιν ἀναπληρώσῃ διὰ τοῦ γενέσθαι ὑπόγειος. εἰ γὰρ τὸ ἀπόγειον αὐτοῦ ἦν ἐν τῷ τοξότῃ· τὸ δὲ ὑπόγειον ἐν τοῖς διδύμοις, τὸ μὲν θέρος ἦν ἂν καὶ πάνυ ὑπερβολικὸν ἐν τοῖς καύμασι· καὶ ὁ χειμὼν ὁμοίως ὑπερέχων ταῖς ψύξεσιν. ἀλλ' ἡ θεία πρόνοια καὶ τούτου, ὥσπερ τῶν ἄλλων προμηθουμένη, οὐ μόνον αὐτῷ τὴν κατὰ μῆκος καὶ πλάτος περιέθετο κίνησιν, ἀλλὰ καὶ τὴν κατὰ βάθος· καὶ ταύτην ἀφορῶσαν πρὸς τὴν ἡμετέραν ὄνησιν. οὐ μὴν ἀλλὰ καὶ ἀνάλογον ποιεῖται αὐτὴν τῇ ἀποστάσει τῇ

πρὸς τὰ

πρὸς τὰ τροπικὰ καὶ γειτνιάσει. οὐ γὰρ ἄφνω ἐξ ὑπογείου ἀπόγειος γίνεται· ἀλλὰ κατὰ μικρὸν, προκόπτει ἀπὸ τοῦδε εἰς τόδε. καὶ ἀνεπαισθήτως πλησιάζει τε καὶ ἀφίσταται, διὰ τὸ μὴ ἀθρόας γίνεσθαι τὰς μεταβολάς.

## Περὶ τῆς διὰ τριακοσίων ξε ἡμερῶν τοῦ ☉ ἀποκαταστάσεως.

Τί δὲ εἴπωμεν περὶ τῆς διὰ τξε ἡμερῶν καὶ τοῦ τετάρτου ἔγγιστα αὐτοῦ ἀποκαταστάσεως. ἴσως γὰρ ἄν τις ἀπορήσειε. διατί μὴ διὰ ἥττονος καιροῦ ἀποκαθίστατο. καὶ ταχύτερον ἐποίει τὴν κίνησιν καὶ ἀποκατάστασιν. ὡς δυναμικώτερος τῶν λοιπῶν. ἀλλ᾽ ἴστω ὁ τοιαῦτα ἐπαπορῶν, ὅτι πᾶσα αὐτοῦ θέσις καὶ κίνησις, καὶ μέγεθος καὶ ἀπόστασις, χρόνου προσδεῖται ἱκανοῦ πρὸς τὸ τελεσθῆναι. τί γὰρ ἂν ἐγένετο πάντιπου δῆλον. ὡς εἴγε τὸ μὲν ἔαρ μηνιαῖον ἦν ἢ διμηνιαῖον. τὸ δὲ θέρος τοιοῦτον. καὶ αἱ λοιπαὶ ὧραι ὡσαύτως, οὔτε φυτῶν ἰδεῖν βλάστησιν ἢ καρπῶν τελείωσιν. ἢ ζώων διαμονήν, εἰ ταχέως ὁ ἥλιος ἀφίστατό τε καὶ ἐπλησίαζε. πῶς δὲ καὶ τὰ σώματα τὰς ἀθρόας ὑπέστη μεταβολάς. καὶ ἀντείχετο πρὸς τὰς τοῦ ἀέρος καταστάσεις. εἰ γὰρ μεταβολαὶ τῶν ὡρέων καθ᾽ ἱπποκράτην μάλιστα τίκτουσι νοσήματα, πόσω γε μᾶλλον ἡ τῆς ἁρμονίας σύγχυσις καὶ τῶν ὡρῶν σύμφυρσις. πάλιν εἰ ὑποθώμεθα βραδυτέραν οὖσαν τὴν κίνησιν τοῦ ἡλίου τῆς νῦν οὔσης. ὥστε τυχὸν τετραμηνιαίας τὰς ὥρας γίνεσθαι ἢ πενταμηνιαίας. σκοπῶμεν δὲ καὶ ἐκ τούτου τί συνέβαινε. πρῶτον μὲν ὁ χειμερινὸς καιρὸς διὰ τὴν βραδεῖαν τοῦ ἡλίου ἀνάκαμψιν, οὐ μικρῶς ἐλύπει τὰ σώματα. ὅπου γε νυνὶ τοσοῦτος ὢν πολλὴν παρέχει τοῖς ἀνθρώποις τὴν ἀγανάκτησιν. δεύτερον δὲ τὸ θέρος τῇ ἐπιμονῇ τῆς θερμότητος πάντα κατέφλεγεν ἄν. καὶ βαρὺς τοῖς ἀνθρώποις ἐπιστάτης κατεφάνη τηνικαῦτα ὁ ἥλιος. βραδυπορῶν καὶ σχολαιοτέραν τὴν πορείαν ποιούμενος. τρίτον δὲ καὶ τὸ πλεῖον μέρος τοῦ ἀέρος χειμὼν ἦν. καὶ τοῦ φθινοπώρου οὕτως. τέταρτον, καὶ ἡ τοῦ ἐνιαυτοῦ ἀποκατάστασις βραδεῖα οὖσα, λήθην ἂν ἐποίει τῆς μετρήσεως. πάντα γὰρ σχεδὸν τὰ μακροχρόνια ἔργα οἱ ἄνθρωποι καὶ πάθη, διὰ τῆς τοῦ ἡλίου μετροῦσιν ἀποκαταστάσεως ἀλλὰ καὶ τὴν ἰδίαν ζωήν. τὸν δεῖνα τόσον ἐνιαυτῶν εἶναι. καὶ τὸν δεῖνα τετελευτηκέναι τόσων ἐτῶν. καὶ ἐπὶ τῶν λοιπῶν. ταύτας οὖν τὰς κακίας, τὰς ἐκ τῶν ταχυβραδυτήτων κινήσεων, ὁ σοφὸς ἐκκλίνων δημιουργός. διὰ τῶν εἰρημένων πεποίηκε πανσόφως τὴν τοῦ ἡλίου ἀποκατάστασιν.

## Περὶ τῆς τοῦ ☉ ἀφ᾽ ἡμῶν ἀποστάσεως.

Λοιπὸν λεκτέον καὶ περὶ τῆς τούτου ἀφ᾽ ἡμῶν ἀποστάσεως. ἐκεῖ γὰρ ἐτέθη καὶ περὶ ἐκεῖνον τὸν τόπον ἀναστρέφεται ἔνθα λυσιτελεῖ ἡμῖν. ὡς μήτε διὰ τὴν ἐγγύτητα τῆδε καταφλέγειν, μήτε διὰ τὴν ἀπόστασιν καταψύχειν. εἰ μὲν ἀνεστρέφετο ἔνθα νῦν ἡ σελήνη εἴτε ὁ ἑρμῆς, οὐδεμίαν ἂν ἡμέραν διήρκεσαν τὰ ἐνταῦθα σώματα ἀντέχειν πρὸς τὴν ὑπερβολὴν τῆς θερμότητος. ἀλλ᾽ ἔφθασε διαφθαρῆναι πρὶν ἢ τοῦτον καταδῦναι. ποία δὲ καὶ ὄψις ἠνέσχετο μικρόν τι ἀντωπῆσαι τῷ ὑπερλάμπρῳ φωτί. εἰ γὰρ νῦν πόρρωθεν ὢν τὰς ὄψεις διακρίνει, πόσω γε μᾶλλον τηνικαῦτα ταύτας ἂν διέφθειρεν. ἀλλ᾽ οὐδὲ τὰ τέσσαρα στοιχεῖα διήρκεσαν ἂν σώζειν τὰς ἰδίας φύσεις. τότε γὰρ ὑπέκαυμα ζωογόνου καὶ σύμμετρον ἔχον τὴν θερμότητα καὶ ξηρότητα, ὑπερέζεσεν ἂν καὶ ὁ ἀὴρ εἰς πῦρ μετεβλήθη. καὶ τὸ ὕδωρ, εἰς ἀέρα ἀνελύθη. καὶ ἡ γῆ τῆς συνεχούσης τὰ μέρη αὐτῆς ὑγρότητος στερηθεῖσα παρείθη. εἰ δὲ πάλιν ὑποθώμεθα τοῦτον ἐν τῇ ἀπλανῇ. ἢ ταῖς τῶν ἀπλανῶν. ἢ τῇ κρονιαίᾳ περιφέρεσθαι σφαίρᾳ, ἐννόησον ὅπως ἂν διετέθη ὁ περὶ ἡμᾶς ἀήρ. τοσοῦτον γὰρ ἂν αὐτῷ ψύχους περιῆν, ὡς μήτε φυτὸν μήτε ζῶον ἐν αὐτῷ πρὸς μικρὸν ἐμμεῖναι. ἀλλ᾽ οὐδὲ γένεσις ἂν ὅλως ἦν. αὕτη γὰρ διὰ θερμότητος γίγων. ὅρα γάρ μοι ὅπως τὰ πλείονα τῶν ζωυφίων καὶ ἑρπετῶν ἀποναρκᾷ τῷ χειμῶνι. καὶ νεκροῦται σχεδόν. καὶ ἐνταφιάζει ἑαυτὰ καὶ θάπτει τῷ ψύχει μαραινόμενα. ὅτε δὲ ἡ τοῦ θέρους θερμότης παραγίνηται. ζωογονεῖται καὶ κινεῖται. καὶ καινήν τινα λαμβάνει ἐμψύχωσιν. καὶ ἐξαπλοῦται ἐπὶ τῆς γῆς. καὶ ἐπὶ τροφῆς ἔρχεται ζήτησιν. ὁ μὲν οὖν Γαληνὸς ἐν τῷ περὶ χρείας μορίων φησίν. ὅτι τὸ μὲν τοσόνδε καὶ τηλικοῦτον μέγεθος ἔχειν τὸν ἥλιον, ἐστὶ τῆς ὕλης. τὸ δὲ ἐν τῷδε τῷ τόπῳ τεθῆναι, τοῦ δημιουργοῦ. καὶ πιθανὸν μὲν καὶ τοῖς πολλοῖς εὐαπόδεκτον τόνδε τὸν λόγον προσήνεγκεν. οὐ μὴν ἀληθῆ. ἡμεῖς γὰρ ἀπεδείξαμεν ὅτι καὶ τῆς ὕλης παραγωγὸν τὸ θεῖον καὶ τοῦ εἴδους. καὶ τῆς τῶν ἐξ ἀμφοῖν θέσεώς τε καὶ τάξεως. τὸ γὰρ ἀποδεῖξαι ὅτι εἰ παρήχθη ὁ ἥλιος τῆς γῆς ἐλάττων πόσα ἂν συνέβαινον ἄτοπα τῇ ἀνθρωπίνῃ φύσει λυμαινόμενα, ἀριδηλότατα δὲ ἐμ-

φαίνεται καὶ τὸ τῆς ὕλης εἶναι παράγωγον τὸν δημιουργόν. ὥστε ἡ κοινὴ πάντων δόξα τὴν τῶν ἔξω σοφῶν δόξαν ἐντεῦθεν ἀνήρηκε. τὸ μηδὲν ἐκ μηδαμοῦ μηδαμῶς ὄντος παράγεσθαι. εἰ μή τινες τούτων φαῖεν, τοὺς δημιουργικοὺς προϋπάρχειν λόγους παρὰ τῷ δημιουργῷ. τήν τε γὰρ ὕλην τοῦ ἡλίου ὁ σοφὸς δημιουργὸς παρήγαγε τῆς γῆς πολὺ μείζονα διὰ τὰς εἰρημένας αἰτίας. καὶ ταύτην τέθηκεν εἰδοποιήσας ἵνα μήτε στερεῖται ἡ γῆ τῶν τούτου δυνάμεων καὶ ἐνεργειῶν, μήτε τῇ τούτου ὑπερβολῇ καταβλάπτηται. καὶ εἴ γε τῷ νοΐ, ἅπαν τὸ βάθος τοῦ οὐρανίου σώματος διοδεύσεις, οὐκ ἂν εὑρήσεις τόπον ἄλλον οἰκειότερον ἢ ἐπιτηδειότερον πρὸς τὸ ζωογονεῖν τὰ ἐπὶ γῆς, παρ' ὃν περιστρέφεται.

## Διατί ἀνατέλλει καὶ δύνει ὁ ἥλιος.

Δύνει δὲ ὁσημέραι καὶ τὴν νύκτα ἐργάζεται, τῇ περιστροφῇ τοῦ παντὸς τοῦ πρώτου περιαγόμενος οὐρανοῦ. ὥστε ἄνεσίν τινα δοῦναι τῷ μέρει τῆς γῆς. ἐφ' ᾧ τὴν ἡμέραν περιπολεύει. καὶ τοῖς περιοίκοις τούτου τῶν ἔργων ἀναψυχὴν καὶ ἀνάπαυσιν. καὶ ἐπιτρέπει τὸν ὕπνον διὰ τῆς καταδύσεως. καὶ πείθει ἠρεμεῖν, τοὺς καὶ ἑαυτῶν διὰ τὸ περί τινα τῶν ἔργων σχολάζειν ἐπιλανθανομένους. καὶ τὰς νύκτας ἐπιμήκεις ποιεῖ χειμῶνος μᾶλλον ἢ θέρους. ὥσπερ ἐμποδίζοντος τοῦ χειμῶνος τοῖς ἔργοις. καὶ μὴ πάνυ ἀναγκαίων ὄντων τῶν ἐν αὐτῷ πραττομένων. ἔτι δέ, καθὼς φησὶν ἱπποκράτης, αἱ κοιλίαι χειμῶνος θερμόταται φύσει, καὶ ὕπνοι μακρότατοι. θέρους δέ, ἐπιμήκεις τὰς ἡμέρας ἐργάζεται. ἵνα μὴ ἡ νὺξ τάχιον ἐπελθοῦσα, παρεμποδίσῃ τοῖς ἐν χερσὶν ἔργοις ὅτι δέον ἐργάζεσθαι. ἀνατέλλει δὲ οὐκ ἄφνω καὶ ἀθρόον. ὥστε καταπλῆξαι τῷ ἀπροσδοκήτῳ τῆς ἀνατολῆς. ἀλλὰ προαιρεμένας ἐκπέμπει ἐμφάσεις. ὑπὲρ τὸν ἀνατολικὸν ὁρίζοντα. καὶ καταυγάζει τὴν γῆν μικρόν τι πρὸ τῆς ἀνελεύσεως. ἵνα μὴ ἐξ ἀκράτου σκότους τὸ ἄκρατον φῶς ἐπελθόν, λύμην ἐπαγάγῃ ταῖς ὄψεσι. καὶ ἀνίσχων, ἀμυδροφεγγής τις καὶ ἀτελεσφότατος φαίνεται. καὶ τοῦτο, ἵνα κατὰ μικρὸν αἱ ἀκτῖνες προκόπτωσιν ἐπὶ τὸ φωτιστικώτερον. καὶ μὴ τῇ ἀθρόᾳ μεταβολῇ παρεμποδίσῃ τι ταῖς ὄψεσιν. ὁμοίως δὲ πάλιν καὶ δύνων, οὐχ ὅλον συστέλλει τὸ φῶς. ἀλλ' ἀφίησι παρ' ἡμῖν ἴχνη τινὰ τῆς ἡμέρας καὶ ἰνδάλματα διὰ τὴν εἰρημένην αἰτίαν. μεσουρανῶν δὲ τῷ μέσῳ. ὥστε διενεργεῖν μακρότερον. ὅτε ἐξὸν σφοδροτέρας ἐπαφιέναι τὰς ἐνεργείας. δεῖ δὲ ὡς εἴπομεν τὰ τοιαῦτα μὴ ἄνευ φυσικῆς αἰτίας νοεῖν γεγενημένα. καὶ νῦν ἡμῖν οὐ περὶ ἐκείνης ὁ λόγος. ἀλλὰ τελικῆς. εἰρήσεται δὲ ὅσον οὔπω ἐν τῷ περὶ τῆς ἀπλανοῦς λόγῳ, διατί μὴ τὰ νυχθήμερα συνεστέλλοντο, ἢ ἐξετείνοντο πλεῖον τῶν νῦν ὄντων καὶ ταῦτα μὲν περὶ τοῦ ἡλίου. ἵνα κατὰ ὄντα ὡς οἶμαι καὶ λιθώδη νοῦν πρὸς ὕμνον καὶ εὐχαριστίαν κινήσῃ τοῦ δημιουργοῦ. καὶ διαγνῶναι ὡς ἕνεκα ἡμῶν οὕτω δεδημιούργηται. καὶ πᾶσα του ἡ κίνησις καὶ θέσις καὶ λόξωσις καὶ περίοδος καὶ ἀποκατάστασις. ||

## Διατί ιβ μῆνας καὶ οὐ πλείονας οὐδὲ ἐλάσσονας ἔχει ὁ ἐνιαυτός.

λ

ὁ ὅλος ἡλιακὸς κύκλος. καθ' ὃν πλαγίως φερόμενος ὁ ἥλιος ἀπὸ μεσημβρίας εἰς ἄρκτον. καὶ ἀπὸ ἄρκτου εἰς μεσημβρίαν τὴν τοῦ χρόνου περίοδον ἐκπληροῖ, καταμεριζόμενος εἰς δώδεκα διαστήματα. σημειούμενα διὰ σχημάτων ἀστέρων. ἄλλως καὶ ἄλλως σχηματιζομένων, ἅτινα καὶ ζώδια ἐκάλεσαν. καὶ κύκλον ζωδιακόν, τὴν πλαγίαν ταύτην περιφορὰν τοῦ ἡλίου ὠνόμασαν. διερχόμενος οὖν ὁ ἥλιος τὰ ιβ ταῦτα ζώδια. ὥστε δι' αὐτῶν τὸν ἐνιαύσιον ἐκπληρῶσαι δρόμον, οὐ μόνον ἐν ἑκάστῳ τῶν ζωδίων ἄλλας καὶ ἄλλας ἐμφαίνει παθητικὰς ποιότητας περὶ ὧν ἑξῆς ῥηθήσεται ἀκριβέστερον. ἀλλὰ καὶ ἡμῖν δέδωκεν ἐν ἑκάστῃ ἑκάστου ζωδίου παρόδῳ ἄλλην καὶ ἄλλην ὀνομασίαν ἐφευρεῖν. καὶ ταύτην αὐτὰ ὀνομάσαι. καὶ τὰς ιβ περιόδους τοῦ ἡλίου τὰς διὰ τῶν ιβ ζωδίων γινομένας ἐν ὅλῳ τῷ χρόνῳ, ιβ μῆνας λέξ καὶ μὴ πλείονας. οὐδὲ γὰρ εἰς πλείονα διαστήματα ζωδιακά, οὐδ' εἰς ἐλάττονα ὁ κύκλος τοῦ ἡλίου καταμεμέρισται ὁ ζωδιακός. ἀλλ' εἰς δώδεκα. καὶ διὰ τοῦτο ἑπομένως τῷ ἀριθμῷ τῶν δώδεκα ζωδίων, δώδεκα μῆνες λέγονται καὶ εἰσίν. ἐπεὶ δὲ οὐκ ἔστιν ἰσότης τῶν διαστημάτων ἐν τοῖς ιβ ζωδίοις, ἀλλὰ ἕτερα ἑτέρων μείζονα, καὶ ἕτερα ἑτέρων ἐλάσσονα,

συμβαίνει τῶν μὲν ἑπτὰ μειζόνων διαστημάτων ἕκαστον, διέρχεσθαι τὸν ἥλιον διὰ νυχθημέρων λα. τὰ τέσσαρα διὰ νυχθημέρων ἀνὰ λ. καὶ τὸ ἓν καὶ τελευταῖον διάστημα, ὅπερ τὴν τοῦ φεβρουαρίου ὀνομασίαν ἐκληρώσατο διὰ νυχθημέρων εἰκοσιοκτὼ καὶ τετάρτου καθὼς ἀνώτερον ἐδηλώθη. οὕτως καὶ ἐκ τούτων αἰτιῶν ιβ μῆνες εἰσὶ καὶ οὐ πλείονες οὐδὲ ἐλάττονες. καὶ τῶν μηνῶν οἱ μὲν ζ ἀνὰ λα νυχθήμερα ἔχουσιν. οἱ δὲ δ ἀνὰ λ. ὁ μέντοι φεβρουάριος μόνος κη τέταρτον.

ἐρώτησις

διατί ἑβδομάδες καταμετροῦσι τὸν ὅλον χρόνον καὶ οὐχὶ ὀκτάδες ἢ ἐννάδες. ἢ ἕτερος ἀριθμός. καὶ ἐὰν νβ εἰσὶν ἑβδομάδες ὁ ὅλος χρόνος, διατί οὐκ εἰσὶ καὶ νυχθήμερα τξδ ἀλλὰ τξε δ'. ἑπτάκις γὰρ νβ, τξδ γίνονται. πόθεν δὲ συμβαίνει καὶ τῆς νουμηνίας τοῦδε ἢ τοῦδε τοῦ μηνὸς ὡς ἐν τύπῳ εἰπεῖν κατὰ τόνδε τὸν χρόνον ἐν τῇ πρώτῃ ἡμέρᾳ τῆς ἑβδομάδος εὑρισκομένης, κατὰ τὸν ἐπιόντα χρόνον ἐν τῇ δευτέρᾳ ἡμέρᾳ εὑρίσκεσθαι. καὶ ἔτι κατὰ τὸν ἐπιόντα, ἐν τῇ τρίτῃ ἡμέρᾳ. καὶ οὕτως ἐπίσης εὑρίσκεσθαι εἰς τὸ ἑξῆς:

Μεμαθήκαμεν ἀπὸ τοῦ μωσέως καὶ τῆς βίβλου τῆς γενέσεως, ὅτι ἐν ἓξ ἡμέραις ὁ θεὸς τὰ πάντα δημιουργήσας, οἷς οἶδε τρόποις ἀκαταλήπτοις κἀκείνῳ μόνῳ γνωστοῖς, τῇ ἑβδόμῃ ἡμέρᾳ κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ. καὶ ἡγίασε καὶ εὐλόγησεν αὐτήν. δέδωκέ τε ταύτην τῷ τότε, ὥσπερ νῦν τὴν πρώτην ἡμέραν τοῖς θεοσεβεῖν βουλομένοις ἔντιμον εἶναι. καὶ πάσης ἐργολάβου μεταχειρίσεως ἐλευθέραν. ὥστε μὴ μόνον ἀπὸ παντὸς ἔργου καὶ πάσης ἐργασίας κατάπαυσιν ἔχειν ταύτην τὴν ἡμέραν, ἐν ἀνθρώποις δεσπόταις καὶ δούλοις, ἀλλὰ καὶ ἐν τοῖς τῇ δουλείᾳ τῶν ἀνθρώπων ὑποπεπτωκόσι ζώοις. τοίνυν καὶ ὡς θεοῦ τοῦτο τυγχάνον παράγγελμα, διέβη καὶ κατεκράτησεν ἐν ἁπάσῃ χώρᾳ. καὶ τόπῳ καὶ ἔθνει ἀσκουμένῳ τὴν θεοσέβειαν καὶ μὴ ἀσκουμένῳ. καὶ κατὰ μετρουμένων τῶν ἡμερῶν, αἱ μὲν ἓξ ὑπῆρχον ἐν ὅλῳ τῷ χρόνῳ εἰς τὸ ἐργάζεσθαι. ἡ δὲ ἑβδόμη, εἰς τὸ ἀναπαύεσθαι πάντας ἀπὸ τῶν ἔργων αὐτῶν. ἐπεὶ δὲ τοῦτο οὕτως συνέστη, πάντως οὐκ ἦν ἀναγκαῖον ὀκτάδας ἢ ἐννάδας. ἢ ἄλλον τινὰ ἀριθμὸν ποιεῖσθαι διὰ φροντίδος. ἀλλὰ τὴν ἑπτάδα. διὰ κατὰ μίαν ἑπτάδα φυλάττουσι τὴν κατάπαυσιν καὶ σέβουσι. διὰ δὲ τοῦτο, καὶ σάββατον τὴν ἑβδόμην καλοῦσι. καὶ αὕτη μὲν ἡ αἰτία, δι᾽ ἣν ἑβδομάδες τὸν ὅλον καταμετροῦσιν ἐνιαυτόν. τὸ μέντοιγε ἐρώτημα τοῦτο τὸ δεύτερον τό, ἐὰν νβ ὦσιν ἑβδομάδες ὅλος ὁ χρόνος, διατί οὐκ εἰσὶν νυχθήμερα τξδ. ἀλλὰ τξε δ'. λέλυται οὕτως. οὐ λέγομεν ὅτι νβ εἰσὶν ἑβδομάδες ὁ ὅλος χρόνος. τοῦτο γὰρ ἡ κοινότης τῶν ἀνθρώπων ἔχει. εἰ γὰρ οὕτως ἐλέγομεν ἐκ παντὸς ἀναγκαῖον ἦν καὶ νυχθήμερα εἶναι τξδ. ἄρτι γοῦν οὐ τοῦτο φαμέν. ἀλλ᾽ ὅτι ἀναγκαῖον εἰσὶ νυχθήμερα τξε δ'. κατὰ τὴν ἀνωτέρω γραφήν. καθότι τοσούτων νυχθημέρων διάστημα διανύει ὁ ἥλιος, ἕως ἂν τὸν ὅλον ζωδιακὸν διελθὼν κύκλον, ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ καταντήσῃ σημεῖον. ἐπεὶ δὲ κατὰ ἑβδομάδα μίαν ἡμέραν σεβόμεθα. λέγομεν ὅτι ἐν ὅλῳ τῷ χρόνῳ νβ ἑβδομάδες πληροῦνται ὁλόκληροι. περιττεύει δὲ νυχθήμερον ἕν. καὶ τοῦ νυχθημέρου τὸ τέταρτον. καὶ λαμβάνει τοῦτο ἑτέρα ἑβδομὰς ἥτις ἐστὶν ἀρχὴ τῶν νβ ἑβδομάδων τοῦ ἐπιόντος χρόνου. ὅθεν καὶ διὰ τὸ περισσεύειν ταῦτα ἀπὸ τῶν ιβ τῶν παρελθουσῶν, καὶ προσγίνεσθαι ταῖς νβ ταῖς ἐπιούσαις, συμβαίνει καὶ τὴν νουμηνίαν τοῦδε ἢ τοῦδε τοῦ μηνός. ἐὰν κατὰ τὸν παρόντα χρόνον εὑρεθῇ ὡς ἐν ὑποθέσει εἰπεῖν, ἐν ἡμέρᾳ πρώτῃ τῆς ἑβδομάδος κατὰ τὸν ἐπιόντα εὑρίσκεσθαι ἐν ἡμέρᾳ δευτέρᾳ. καὶ οὕτως ἀεὶ ἐπὶ τρισὶ μὲν ἐγχρονίαις ὁ ἕτερος χρόνος τοῦ ἑτέρου προσλαμβάνει νυχθήμερον ἕν. διὰ τὸ μετὰ τὰς νβ ἑβδομάδας περιττὸν νυχθήμερον ἐκεῖνο. ὁ δὲ τέταρτος, νυχθήμερα προσλαμβάνει δύο. καθότι καὶ τὰ τέσσαρα τέταρτα τῶν τεσσάρων χρόνων, εἰς ἕτερον ἓν νυχθήμερον ἀναβιβάζονται:

Τί ἐστι τοῦτο ὃ λέγεται κύκλος ἡλίου καὶ κύκλος σελήνης. καὶ διατί κύκλους μὲν τοῦ ἡλίου λέγουσιν εἶναι κη. τῆς δὲ σελήνης ιθ. καὶ οὔτε πλείονας οὔτε ἐλάττονας. εἰ γὰρ καθ᾽ ἕκαστον ἔτος ἕνα κύκλον ἐκπληροῖ διατί μέχρι τοῦ εἰκοστοῦ ὀγδόου ἀριθμοῦ ψηφίζονται οἱ κύκλοι αὐτοῦ καὶ οὐχ ὑπερβαίνουσι. διατί δὲ καὶ οἱ τῆς σελήνης κύκλοι μέχρι τοῦ ιθ:

Ἄλλη ἐστὶν ἡ αἰτία τοῦ ἀριθμοῦ τῶν κη κύκλων τοῦ ἡλίου καὶ ἄλλη ἡ τῶν ιθ κύκλων τῆς σελήνης. καὶ πρῶτον μὲν ῥητέον περὶ τῶν ἡλιακῶν κύκλων:

λεγ. οἶδας

Ἴδας ὅτι τὰ ὅλα νυχθήμερα τοῦ χρόνου
τξε δʹ ὑπάρχουσι· καὶ ὅτι αἱ νβ ἑβδομά-
δες ἔχουσι νυχθήμερα τξδ· περι σιν
οὖν ἐπέκεινα τῶν νυχθημέρων τῶν ἑβδο-
μάδων, νυχθήμερον ἓν καὶ τέταρτον. τὰ οὖν
περιττεύοντα ταῦτα ἐν οὐδενὶ ἑτέρῳ χρόνῳ
ὁλόκληρον ἑβδομάδα ἢ ἑβδομάδας ἀπαρτίσαι
δύνανται, ὥστε τὸ τέλος τοῦ χρόνου καὶ τέλος
ἑβδομάδος εὑρεῖν, καὶ οὕτως ἐν ἰσότητι ἐλθεῖν.
ἢ μὴν ἕως ἂν εἰς τὸν κη κύκλον καταντή-
σωσι· τηνικαῦτα γὰρ τὰ περιττεύοντα ποσοῦν-
ται εἰς νυχθήμερα κη· καὶ τέταρτα κη.
ἐπεὶ δὲ τὰ κη νυχθήμερα εἰσί· γίνονται
ἑβδομάδες ἀπηρτισμέναι πέντε· καὶ λοιπὸν
εἰς τὸν κη κύκλον, ταυτότης ἡμερῶν ἐν
ἑβδομάσι καὶ ἐν χρόνῳ γίνεται, ὅπερ ἐν ἑ-
τέρῳ κύκλῳ, κἂν πολλάκις κάμῃ τις οὐκ
ἂν εὑρήσει· ἢ ἕως ἂν ἀνέλθῃ πάλιν εἰς τὸν
δὶς κη, ἢ τρὶς κη· ἢ τετράκις κη· καὶ ἑξῆς
ὁμοίως· καὶ διὰ τοῦτο ἄχρι τοῦ κη ἀπαρι-
θμεῖται ὁ ἡλιακὸς κύκλος ὡς ἐν αὐτῷ τῶν
περιττευόντων νυχθημέρων καὶ τῶν ἐν ἑκάστῳ
χρόνῳ τετάρτων, τελείαν ἀπάρτισιν ἑβδο-
μάδων τινῶν κατασκευαζόντων· καὶ μετὰ τοῦ-
το ἄλλας καὶ ἄλλας ἀπεργαζομένων ἀνισό-
τητας, ἕως ἂν πάλιν εἰς τὸν κη ἢ εἰς τὸν δὶς ἢ
τρὶς ἢ τετράκις κη καταλάβωσι. καὶ αὕτη μὲν
ἡ περὶ τούτων αἰτία, ἧς ἡ γνῶσις ἀναγκαία
διὰ τῶν ἑξῆς εὑρεθήσεται: ἡ δὲ πε-
ρὶ τὸν σεληνιακὸν κύκλον, ἔχει οὕτως· ἀλλὰ
τό γε νῦν ἔχον, τὴν κατὰ μέρος αἰτίαν τοῦ
πόθεν τοῦτο συμβαίνει μὴ ζήτει· ἁπλῶς
δὲ τὸ πρᾶγμα παράλαβε· καὶ τέως ἐν εἰ-
δήσει τούτου γενοῦ· ἐφεξῆς δὲ εἰ βοῦ καὶ τὴν
αἰτίαν ζήτησον· καὶ τῆς λύσεως αὐτῆς ἐναυτί-
σθητι. (λεγ. σον) ἐντὸς τῆς ἐαρινῆς ἰσημερίας· ἤτοι ἐν-
τὸς τῆς ἀπὸ τῆς κα τοῦ μαρτίου μηνός· μέχρι
τῆς ιη τοῦ ἀπριλλίου, τὸ νομικὸν πάσχα καθ'
ἕκαστον χρόνον ψηφίζοντες εὑρίσκομεν. καὶ εὑ-
ρόντες καθ' οἷον νυχθήμερον τῆς ἑβδομάδος τοῦ-
το τυγχάνον διαγνωσθείη, κατὰ τὴν ἐπιοῦσαν
πρώτην τὸ τῶν χριστιανῶν ἐκτελοῦμεν πάσχα.
καὶ τοῦτο μὲν ἔχει οὕτως. μέθοδος δέ τις ἐδόθη
ἀρχῆθεν, ὅπως ταύτην κρατούντων ἡμῶν καὶ ταύ-
την προσεχόντων, μὴ δύναται τὸ νομικὸν πά-
σχα ἐκτὸς τῶν νυχθημέρων τούτων πίπτειν
τῶν ἀπὸ τῆς κα τοῦ μαρτίου μηνός. καὶ ἄχρι
τῆς ὀκτωκαιδεκάτης τοῦ ἀπριλλίου μηνός.
μήτε κατὰ τὸ ἄνω, μήτε κατὰ τὸ κάτω. ἡ δὲ
μέθοδος ἐστὶν αὕτη· εἰ μὲν ἐνὶ τῶν νυχθημέ-
ρων τοῦ μαρτίου μηνός· ἤτοι τῶν ἀπὸ τῆς
κα καὶ ἄχρι τῆς λα ὑπάρχει κατὰ τὸν παρόντα
ὡς ἐν τύπῳ εἰπεῖν χρόνον τὸ νομικὸν πάσχα,
προστιθέαμεν καὶ ἕτερα ιη νυχθήμερα καὶ κα-
τὰ τὸ ἐφεξῆς νυχθήμερον ἤτοι ἐν τῷ ἐπιλα-
βέσθαι τὸ ιθ νυχθήμερον, λέγομεν εἰς τὸν
ἐπιόντα χρόνον εἶναι τὸ νομικὸν πάσχα. καὶ οὕ-
τως ποιοῦμεν δι' ὅλων τῶν νυχθημέρων τοῦ
μαρτίου, πλὴν ἑνὸς κύκλου τινὸς ἤγουν, τοῦ ις.
ἔστω οὖν εἶναι κατὰ τὴν παροῦσαν πρώτην ἰνδι-
κτιῶνα ἤγουν ἐν δευτέρῳ κύκλῳ τῆς σελή-
νης τὸ νομικὸν πάσχα, παρ' αὐτὴ τῇ κβ τοῦ
μαρ(τίου) μηνός· προστιθέαμεν οὖν καὶ ἑτέρας
ιη, ἤγουν τὰς λειπούσας ἡμέρας θ τοῦ μαρ(τίου) καὶ
ἑτέρας θ τοῦ ἀπριλλίου. καὶ λέγομεν μετὰ
τὴν παρέλευσιν τῆς ιη, ἤτοι κατὰ τὴν ι τοῦ
αὐτοῦ ἀπριλλίου μηνὸς τὸ νομικὸν πάσχα
εἶναι τῆς μελλούσης εἰσιέναι β ἔτους· σελή-
νης δ' τρίτης. ἐὰν δὲ ἐν ταῖς ἡμέραις τοῦ ἀ-
πριλλίου μηνὸς εὑρεθῇ τὸ νομικὸν πάσχα, οὐ
προστιθέαμεν ἀλλ' ὑπεξαιροῦμεν ἡμέρας ια (λεγ. ὑ… ἐξαι…)
καὶ οὕτως εἰς τὴν ἐκτὸς τῆς ια ἡμέρας τὸ πά-
σχα τοῦ ἐπιόντος χρόνου εὑρίσκομεν. εἰ γὰρ ἐν
τῇ ι τοῦ ἀπριλλίου μηνὸς τὸ νομικὸν ὑπάρχει
πάσχα ὑπεξαιροῦμεν ἡμέ(ρας) ια, καὶ λέγομεν
ὅτι κατὰ τὴν λ τοῦ μαρ(τίου) μηνὸς τὸ νομικὸν
γεννήσεται πάσχα, εἰς τὸν ἐπιόντα χρόνον.
οὕτως δ' ἐν τούτοις τῆς μεθόδου ταύτης γινομέ-
νης, οὐδέποτε ἐκτὸς ὡς εἰρήκαμεν τῶν ἡμερῶν
τῶν ἀπὸ τῆς κα τοῦ μαρτίου μηνός. καὶ ἄχρι
τῆς ιη τοῦ ἀπριλλίου τὸ νομικὸν πάσχα εὑ-
ρίσκεται. δεῖ δὲ εἰδέναι ὅτι ἀπὸ τοῦ νῦν ὁσά-
κις περὶ ἡμερῶν λέγομεν, ἀντὶ τῆς ἡμέρας
τὸ νυχθήμερον ὀφείλει ἐκλαμβάνεσθαι.
ἔστι μὲν τοῦτο οὕτως· ὅρα δὲ λοιπὸν καὶ τὸ
ἑξῆς, ἔχει ὁ πρῶτος κύκλος τῆς σελήνης
τὸ νομικὸν πάσχα, ἀπρι(λλίου) β· ὑπεξαιροῦμεν
ἡμέρας ια. καὶ λέγομεν κατὰ τὸν β κύκλον
τῆς σελήνης εἶναι τὸ νομικὸν πάσχα· μαρ(τίου)
εἰς τὰς κβ· εἶτα προστιθέαμεν ἡμέρας
ιη καὶ λέγομεν εἶναι ἐν τῷ τρίτῳ κύκλῳ,
ἀπρι(λλίου) εἰς τ(ὴν) ι· ἀπὸ τούτων ὑφαιροῦμεν ἡ-
μέρας ια· καὶ λέγομεν εἶναι ἐν τῷ τετάρτῳ
κύκλῳ, μαρτίου εἰς τ(ὴν) λ· πάλιν προστιθέαμεν
ἡμέρας ιη καὶ λέγομεν εἶναι ἐν τῷ πέμπτῳ
κύκλῳ, ἀπρι(λλίου) εἰς τ(ὴν) ιη· ἀπὸ τούτων ὑφαιροῦμεν
ἡμέρας ιη· καὶ λέγομεν εἶναι ἐν τῷ ἕκτῳ κύ-
κλῳ, ἀπρι(λλίου) εἰς τ(ὴν) ζ· ἐπεὶ δὲ καὶ πάλιν ἀπρι(λλίου)
πρόκειται, ὑπεξαιροῦμεν καὶ αὖθις ἡμέρας
ια. καὶ λέγομεν ἐν τῷ ζ κύκλῳ εἶναι μαρ(τίου)
εἰς τ(ὴν) κζ· πάλιν προστίθεμεν ἡμέρας ιη· καὶ
λέγομεν εἶναι ἐν τῷ ὀγδόῳ κύκλῳ, ἀπρι(λλίου)
εἰς τὰς ις· ὑπεξαιροῦμεν αὖθις ἡμέρας
ια· καὶ

ια. καὶ λέγομεν εἶναι ἐν τῷ ἐννάτῳ κύκλῳ, ἀπριλλίου εἰς τὰς δ. καὶ πάλιν διὰ τὸν ἀπριλλ, ὑπεξαιροῦμεν ἡμέρας ια. καὶ λέγομεν εἶναι ἐν τῷ δεκάτῳ κύκλῳ μαρτίου εἰς κδ. πάλιν προστιθέαμεν ἡμέρας δεκαοκτώ. καὶ λέγομεν εἶναι ἐν τῷ ια κύκλῳ ἀπριλλίου εἰς ιβ. ὑπεξαιροῦμεν ἡμέρας ια. καὶ λέγομεν εἶναι ἐν τῷ ιβ κύκλῳ ἀπριλλίου εἰς τὴν α. καὶ αὖθις διὰ τὸν ἀπριλλ, ὑπεξαιροῦμεν ἡμέρας ια. καὶ λέγομεν εἶναι ἐν τῷ ιγ κύκλῳ μαρτίου κα. πάλιν προστιθέαμεν ἡμέρας ιη. καὶ λέγομεν εἶναι ἐν τῷ ιδ κύκλῳ ἀπριλλίου εἰς τὰς θ. ἢ ἐν τῷ τέλει, ἢ μᾶλλον εἰπεῖν μετὰ τὸ τέλος τῆς ὀγδόης, καὶ ἐν τῷ ἐπιλαβέσθαι τὴν ἐννάτην. ὑπεξαιροῦμεν αὖθις ἡμέρας ια. καὶ λέγομεν εἶναι ἐν τῷ ιε κύκλῳ, μαρτίου κθ. πάλιν προστιθέαμεν ἡμέρας ιη. καὶ λέγομεν εἶναι ἐν τῷ ιϛ κύκλῳ, ἀπριλλίῳ ιϛ. ἤτοι κατ' αὐτὴν τὴν προσθήκην τῶν ιη ἡμερῶν. καὶ οὐ κατὰ τὴν ἐπιοῦσαν ὥσπερ ἐν τοῖς ἄλλοις γίνεται. ἐν τούτῳ γὰρ ἄνω εἴρηται, τὸ πλὴν ἑνός τινος κύκλου. ὑπεξαιροῦμεν ἡμέρας ια. καὶ λέγομεν εἶναι ἐν τῷ ιζ κύκλῳ, ἀπριλλίου ε. καὶ αὖθις διὰ τὸν ἀπριλλ ὑπεξαιροῦμεν ἡμέρας ια. καὶ λέγομεν εἶναι ἐν τῷ ιη κύκλῳ μετὰ τὴν συμπλήρωσιν τῆς κε τοῦ μαρτίου μηνὸς, καὶ ἐν τῇ ἐπιλήψει τῆς κϛ οὕτως γὰρ ἔφερεν ἡ ἀκρίβεια, περὶ ἧς ἐν τοῖς ἔμπροσθεν ἡ διδασκαλία γνωρίσει σοι. πάλιν προστιθέαμεν ἡμέρας ιη. καὶ λέγομεν εἶναι τὸ νομικὸν πάσχα ἐν τῷ ιθ κύκλῳ ἀπριλλίῳ εἰς ιγ. καὶ οὕτως ἄχρι τοῦ ἐννεακαιδεκάτου κύκλου τῆς σελήνης διαλλάττον ἐν ἄλλῃ καὶ ἄλλῃ ἡμέρᾳ τὸ νομικὸν πάσχα εὑρίσκεται. ἐὰν δὲ καὶ ἔτι προσθήσομεν κατὰ τὸν αὐτὸν τρόπον τὸ πάσχα εὑρίσκειν, εἰς τὰ αὐτὰ πάλιν ἐπανακάμψωμεν ψηφία καὶ οὐκ εἰς ἕτερα. τί δέ ἐστιν ὃ λέγω, ἐν τῷ ιθ κύκλῳ τοῦ πάσχα εὑρισκομένου κατὰ τὴν ~~...~~ ιγ τοῦ ἀπριλλίου μηνὸς ἐὰν ὑπεξαίρωμεν ἡμέρας ια, ἔσται κατὰ τὸν εἰκοστὸν κύκλον τὸ πάσχα ἀπριλλίου εἰς τὰς β. καθὼς ἦν ἐν τῷ πρώτῳ κύκλῳ. καὶ ἔσται ὁ εἰκοστὸς κύκλος καὶ ὁ πρῶτος, ὁ αὐτὸς καὶ πάλιν ἐὰν ὑπεξαίρωμεν ἡμέρας ια, ἔσται ὁ κα κύκλος, μαρτίου ιβ. καὶ ἔσεται ὁ αὐτὸς τῷ δευτέρῳ κύκλῳ καὶ ἑξῆς. τοίνυν διὰ τὸ θεωρεῖσθαι τοὺς αὐτοὺς εἶναι τὸν εἰκοστὸν τῷ πρώτῳ, τὸν κα τῷ δευτέρῳ τὸν κβ, τῷ τρίτῳ τὸν κγ, τῷ τετάρτῳ κύκλῳ. καὶ τοὺς ἄλλους ὁμοίως, ἕως ἂν εἰς τὸν δὶς δέκα ἐννέα ἀριθμὸν καταντήσωσι, καὶ διὰ τὸ συμβαίνειν μὲν γίνεσθαι ἄλλους κύκλους. ἀλλὰ τοὺς αὐτοὺς τοῖς πρώτοις ιθ, διὰ τοῦτο οὐ πλείονες ἀλλὰ ιθ λέγονται εἶναι οἱ κύκλοι τῆς σελήνης. οὕτως κατὰ λόγον καὶ αἰτίαν ἰδίαν, τοῦ μὲν ἡλίου κη λέγονται κύκλοι, τῆς δὲ σελήνης ιθ. διατί δὲ ἐν μόνῳ τῷ ιϛ κύκλῳ ἀναιροῦμεν ἡμέραν μίαν, ἐν τόπῳ ἰδίῳ θεωρηθήσεται. ῥηθήσονται δὲ καὶ περὶ τοῦ ἐνέχεσθαι τῷ ιθ σεληνιακῷ κύκλῳ ἐπέκεινα καὶ ἕτερα τινὰ εἶναι. καὶ ἄλλαι τινὲς αἰτίαι κατὰ τάξιν προβαίνουσαι μετὰ πλείονος τῆς ἐπιτηρήσεως. ναὶ μὴν καὶ περὶ ἄλλων τινῶν ἀκριβείας πλείονος ἐχομένων διὰ τὸ λεπτολογημένον τῆς τηνικαῦτα διδασκαλίας. νυνὶ γὰρ κατὰ τὸ παχύτερον λέγομεν. καὶ κατὰ τὴν τῶν προτέρων παχυτέραν παράδοσιν. ἱκανῶς εὑρεθεῖσαν ὅσον ὅσον πρὸς εὕρεσιν τοῦ νομικοῦ πάσχα. καὶ οὐχὶ τῆς ὥρας καὶ τοῦ λεπτοῦ, καθὸ ἡ ἀπόχυσις γίνεται.

## Ἐρώτησις ζ

Τοῦ μὲν οὖν πρώτου κύκλου τὸ νομικὸν πάσχα ἔχοντος κατὰ τὴν δευτέραν τοῦ ἀπριλλίου μηνὸς, ἴσως ἔχεται λόγου τὸ τοὺς ἄλλους κύκλους ἢ κατὰ ἀφαίρεσιν ἡμερῶν ια καὶ εἰς τὴν ἐκτὸς ἡμέραν τῶν ια ἡμερῶν τὸ ἐπιὸν νομικὸν πάσχα ἔχειν ἢ κατὰ προσθήκην ἡμερῶν ιη. καὶ εἰς τὴν μετ' αὐτὴν ἡμέραν τὸ αὐτὸ προσδέχεσθαι πάσχα καθὼς ἀνώτερον δεδήλωται. συγχωρείσθω γὰρ πρὸς τὸ παρὸν ταῦτα. διατί δὲ καὶ ἀπό τινος ἀνάγκης ὁ πρῶτος κύκλος κατὰ τὴν δευτέραν τοῦ ἀπριλλίου μηνὸς τὸ νομικὸν ἀεὶ ἔχει πάσχα.

Ἡ παροῦσα ὑπόθεσις μεγάλων μυστηρίων ἀποκαλύπτει φανέρωσιν. καὶ προσεκτέον τοῖς λεγομένοις. πρῶτον μὲν γὰρ δῆλον γίνεται, ὅτι κατὰ τὴν ἡμέραν. καθ' ἣν ὁ θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ ἔκτισεν, ὁ ἥλιος ἐγγὺς τῆς ἐαρινῆς πρώτης ἰσημερίας ἐτύγχανεν. ἤτοι ἐγγὺς τῆς ἀκριβοῦς μεσότητος τοῦ οὐρανοῦ. ἔδει γὰρ οὕτως ἔχειν. ἔπειτα δὲ, ὅτι καὶ ἡ σελήνη τηνικαῦτα τὴν ὁλόφωτον αὐτῆς εἶχεν αὐγήν. ὥστε εἶναι αὐτὴν κατὰ τὴν γραφὴν, εἰς ἀρχὰς τῆς νυκτός. καθώσπερ ὁ ἥλιος εἰς ἀρχὰς τῆς ἡμέρας. ἐπεὶ καὶ ἔδει μήτε τὴν ἡμέραν πλεονάζειν τῆς νυκτός, μήτε τὴν νύκτα, τῆς ἡμέρας. καθ' ἣν ὁ ποιητὴς τὴν τούτων παρήγαγεν ὕπαρξιν. ἀλλὰ μηδὲ τὴν σελήνην κεκολοβωμένην ἀναφανῆναι. εἰ γὰρ τοῦτο ἦν, οὐκ ἂν εὑρέθη

|| hic inc. quater. 3us

καὶ

ρω

24 25

εἶναι εἰς ἀρχὰς τῆς κύκλου· ὅτε γὰρ εἰς τὴν ἀρχὴν
ὑπάρχει τῆς κύκλου, οὐδεμίαν ὑπομένει κόλοβω-
σιν. τοίνυν καὶ κλιθέντων τῶν φωστήρων, ἦν μὲν
ὁ ἥλιος ἀνατείλας εἰς τὸν τόπον τῆς ἀνατολῆς τοῦ
τε δρόμου τοῦ μαρ(τίου) μηνὸς ἦν γ' καὶ ἡ σελήνη,
καθ' ἣν εὕρομεν καὶ τοῦ δαμασκηνοῦ προσγρα-
φήν. πεντεκαιδεκαταία ὁμοίως ἀναφανεῖσα.
ἐν τούτῳ γὰρ τὸ πάντη κατέχει ὁλόφωτον. ἐκεῖ-
θεν δὲ ἀπαρξαμένη, καὶ τοὺς σεληνιακοὺς ιβ
μῆνας αὐτῆς διανύσασα. οἵτινες ποσοῦνται δι'
ἡμερῶν τνδ. οὐκ ἔφασεν αὖθις εἰς τὸν τόπον
ἐκεῖνον καθ' ὃν καὶ ἀπήρξατο. ἐπεὶ οὐδὲ ἦν
δυνατόν, ἀλλ' εἰς τὸν τόπον ἐν ᾧ ὁ ἥλιος τρία
ἥμισυ νυχθήμερα τοῦ μαρτίου μηνὸς ἀνύσας,
τεταρταῖος ἀνέτειλε καὶ πόρρω τῆς ἰσημερίας
ἐτύγχανεν. ἕνδεκα γὰρ τὰ ἡμέρας ἀεὶ ὑστε-
ροῦσιν οἱ δώδεκα σεληνιακοὶ μῆνες ὡς πρὸς
τὴν ὁλότητα τῶν ἡμερῶν τοῦ ἡλιακοῦ δωδεκα-
μήνου. ἐργασαμένη γὰρ τὴν οἰκίαν ἀπόκρυσιν.
κατὰ τὰς γ ἥμισυ τοῦ μαρτίου μηνὸς ἐν τῷ
ιβ αὐτῆς μηνί. ἐπεὶ πρὸ τῆς ἰσημερίας τὸ
πάσχα γίνεσθαι. ἡ τῶν ἁπάντων ποιητικὴ
σοφία οὐ προώρισεν, ὃ γὰρ ἐν ὑστέροις καιροῖς
ἐθέσπισε. τοῦτο ἀπὸ καταβολῆς κόσμου προ-
διωρισμένον εἶχεν. ἀλλ' οὐδὲ πρώτου μηνὸς
ἦν ἀπόκρυσις, ἀλλὰ δωδεκάτου. ἐν δὲ τῇ ἀ-
ποκρύσει τοῦ πρώτου μηνὸς τοῦτο διωρίσατο
γίνεσθαι ὁ θεὸς τῷ μωϋσῇ, προσελήφθησαν ἀναγ-
καίως καὶ ἕτεραι ἡμέραι κθ S'' ἄχρι τῆς ἀ-
ποκρύσεως δηλονότι τοῦ πρώτου μὲν σεληνι-
ακοῦ μηνὸς ὡς πρὸς τὸν ἐπιόντα ἐνιαυτόν.
τρισκαιδεκάτου δὲ ὡς πρὸς τὸν παρελθόντα.
καὶ ἡ τοῦ πρώτου σεληνιακοῦ κύκλου περί-
οδος, κατέληξε τὴν τελευταίαν αὐτῆς ἀπό-
κρυσιν, εἰς τὰς β τοῦ ἀπριλλίου μηνός. ἐκεῖ-
θεν δὲ τῆς ἀρχῆς τῶν κύκλων ἐπιδράττεσθαι
ἡμᾶς δεδωκότα, καλῶς ἄγαν τὰς περιόδους
τῶν ἐφεξῆς κύκλων, οὕτως ἔχειν ἐπήξε
καθὼς ἡρμηνεύθησαν. ἀναγκαῖον οὖν ἐποίη-
σε τὸ ἄρξασθαι τὸν πρῶτον κύκλον ἀπὸ τῆς
δευτέρας τοῦ ἀπριλλίου μηνός, ἡ εἰς τὰς
γ ς τοῦ μαρτίου μηνὸς κατάληξις τοῦ δωδε-
μηνός κάτου σεληνιακοῦ μη(νός), πρὸ γὰρ τῆς ἰσημε-
ρίας αὕτη γέγονε. καὶ διὰ τοῦτο, ἐδέησε
καὶ ἑτέρου μηνός, τοῦ τρισκαιδεκάτου μέν,
ὄντος εἰς τὸν παρελθόντα χρόνον. πρώτου δέ,
ὡς πρὸς τὸν ἐπιόντα. ἀναγκαῖον δὲ πάλιν
ἐποίησε τὸ γινώσκειν ὅτι ἐν τῇ ἀνατολῇ τοῦ
τε τόπου τοῦ μαρτίου μηνὸς εὑρέθη ὁ ἥλιος
καθ' ὃν καθὸν ἐκτίσθη καιρόν. καὶ ὅτι ἡ σελήνη ὁλό-
φωτος ἦν. ὥσπερεὶ πεντεκαιδεκατρία τυγ-
χάνουσα. καὶ ὅτι ἡ παράδοσις αὕτη ἣν ἔχο-
μεν καὶ ὁ λόγος αὐτὸς βεβαιοῖ πρὸ τοῦ εἶναι περὶ
κατὰ τὸν πρῶτον κύκλον τὸ νομικὸν πάσχα
ἀπριλλίου εἰς β. εἰ γὰρ μὴ τοῦτο οὕτως
εἶχεν, ἐκεῖνα οὐκ ἂν οὕτως ἀπάρξασθαι ἐ-
γινώσκετο. ἀμφότερα γὰρ τὰς ἐν ἀλλήλοις
ἀποδείξεις κατασκευάζουσι·~

η ἐρώτ(ησις)

Καὶ τοῦτο δὲ πόθεν ἐστὶν ἀμετάθετον. ὥσ-
τε τοῦ παρόντος νομικοῦ πάσχα εὑρισκο-
μένου ἴσως ἐντὸς τῶν ἡμερῶν τοῦ ἀπριλλίου
μηνὸς κατὰ τὸν ἐπιόντα χρόνον ἵνα ὀπισθο- ὀ
ποδοῦμεν ἀπὸ τῆς ἡμέρας ἐκείνης, ἡμέ-
ρας ια. καὶ οὕτως ἵνα εὑρίσκηται τὸ πά-
σχα τοῦ ἐπιόντος χρόνου. ὅταν δὲ ὁ παρὼν
χρόνος ἐντὸς τῶν ἡμερῶν τοῦ μαρτίου τὸ
πάσχα ἔχει, κατὰ τὸν ἐπιόντα χρόνον ἵνα
προστιθῶνται ἡμέραι ιη. καὶ τῇ ἐπιούσῃ
ἡμέρᾳ, ἵνα διαγινώσκηται τὸ πάσχα
κατὰ τὴν ἀνωτέρω περιγραφεῖσαν διδα-
σκαλίαν. πόθεν οὖν ταῦτα ὡς ἀμετάθε-
τα ἔχειν ὀφείλομεν·

ἀπ(όκρισις)

Τέσσαρες εἰσὶν αἱ μεγάλαι τροπαὶ τοῦ
ἡλίου. ἡ ἐαρινή, ἀρχομένη καθὼς προελά-
βομεν ἀπὸ τῆς κα τοῦ μαρτίου μηνός. καὶ
λήγουσα εἰς τὴν κγ τοῦ ἰουνίου ἡ θερινή,
ἀρχομένη ἀπὸ τῆς κδ τοῦ ἰουνίου καὶ λή-
γουσα εἰς τὴν ιθ τοῦ σεπτεβρίου. ἡ φθι- φθι-
νοπωρινή, ἀπὸ τῆς κ τοῦ σεπτεβρίου, καὶ
λήγουσα εἰς τὴν κγ τοῦ δικεβρίου μηνός.
καὶ ἡ χειμερινή, ἀρχομένη ἀπὸ τῆς κδ τοῦ
δεκεβρίου, καὶ λήγουσα εἰς τὰς κ τοῦ μαρ-
τίου. ἐν τούτῳ τῇ ἐαρινῇ τροπῇ ὑπάρχει
καὶ ἡ πρώτη ἰσημερία ἀπὸ τῆς κα διήκου-
σα τοῦ μαρτίου, καὶ ἄχρι τῆς ιη τοῦ ἀπριλ-
λίου μηνός, ἐντὸς δὲ ταύτης τῆς ἰσημερί-
ας προορίσαντος τοῦ θεοῦ τὸ νομικὸν πάσχα
γίνεσθαι, οὕτως καὶ γὰρ ἐνετείλατο τῷ μωϋ-
σῇ. τῷ πρώτῳ μηνὶ τῇ δεκάτῃ τοῦ μηνὸς
λαμβάνειν τὸν ἀμνὸν καὶ συντηρεῖν ἐν ἡμέ-
ρᾳ πέμπτῃ. καὶ τῇ πέμπτῃ ἡμέρᾳ ἐσθίειν
αὐτόν. ὅπερ καὶ πάσχα ὠνόμασαι. πρῶτος
δὲ μὴν ὑπάρχει, ὁ ἐντὸς τῆς ἐαρινῆς ἰση-
μερίας τὴν ἀπόκρυσιν ἔχων. ὅρα πῶς συμ-
βαίνει καὶ πῶς. εἰ μὲν ἐντὸς τοῦ ἀπριλλίου
μηνὸς ὁ παρὼν χρόνος τὸ νομικὸν πάσχα
ἔχει, ὑπεξαιροῦνται ἀπὸ τῆς ἡμέρας
ταύτης ἕτεραι ἡμέραι ια. κἀντεῦθεν
εὑρίσκεται τὸ τοῦ ἐπιόντος χρόνου νομι-
κὸν πάσχα πρὸ τῆς ια ὡς εἴπομεν. ἐὰν

δὲ ὁ παρὼν ἐντὸς τῶν ἡμερῶν τοῦ μαρτίου
τὸ αὐτὸ πάσχα ἔχει, προστίθενται ἡμέραι
ιη΄. καὶ ἄνευ τοῦ ιϛ΄ κύκλου, οὕτως ὁμοίως
α τὸ πάσχα εὑρίσκεται μετὰ τὴν ιη΄. Γινώ-
σκεις δὲ ὅτι οἱ δώδεκα σεληνιακοὶ μῆνες
ἔχουσιν ἡμέρας τνδ΄. καὶ ὑστεροῦσιν ἀεὶ
ἡμέρας ια΄ δ΄΄ ὡς πρὸς τοὺς ιβ΄ σεληνιακοὺς
μῆνας ἔτι γινώσκεις μαθών, ὅτι ὁ πρῶτος
κατὰ τὴν κοσμοποιΐαν σεληνιακὸς κύκλος
ἀρξάμενος ἀπὸ τῆς κε΄ τοῦ μαρτίου ἐποίησε
τὴν ἀπόχυσιν τοῦ ιβ΄ μηνὸς κατὰ τὰς γ΄ ϛ΄΄
τοῦ ἐπιόντος μαρτίου μηνὸς διὰ τὴν τῶν ια΄
ἡμερῶν ὑστέρησιν. προστεθεισῶν οὖν ἀπὸ
τῆς ἀποχύσεως τοῦ πρώτου μηνός, ἕτεραι
ἡμέραι κθ΄ ϛ΄΄ καὶ εὑρέθη τὸ τοῦ πρώτου
σεληνιακοῦ κύκλου πάσχα, ἀπριλλίου εἰς τὰς
β΄. ἐπεὶ δὲ τοῦτο οὕτως ἔχον διεγνώσθη,
σκόπησον τίνες εἰσὶν αὗται αἱ κθ΄ ϛ΄΄ ἡμέ-
ραι. καὶ δῆλον ἐστίν, ὅτι τυγχάνουσιν ἡμέ-
ραι μὲν ια΄ αἱ ὑστερήσασαι ἀπὸ τοῦ δωδε-
καμήνου ὡς δεδήλωται. καὶ ἕτεραι ἡμέραι
ιη΄ ϛ΄΄ αἱ ἄχρις ἑτέρας ἀποχύσεως διήρ-
κουσαι. καὶ ἐπεὶ τοῦτο οὕτως ἐγένετο, ἄ-
ρα γε κατὰ τὴν ὁμοιότητα ἐδόθη καὶ εἰς τὸ
ἑξῆς ἔχειν. καὶ εἰ μὲν ἡ παροῦσα τοῦ παρόν-
τος πάσχα ἀπόχυσις, ἐντὸς τῶν ἰσημερευόν-
των ἡμερῶν τοῦ μαρτίου ὑπάρχει, διὰ τὸ ὑστε-
ρεῖν ὁμοίως κατὰ τὸ ἐπιὸν ἡμέρας ια΄.
καὶ τὴν ἀπόχυσιν εὑρίσκεσθαι πρὸ τῆς ἐα-
ρινῆς ἰσημερίας, προστιθέαμεν ταῖς ἡμέ-
ραις ταύταις τὰς ιη΄ ϛ΄΄ ἡμέρας. αἵτινες
μετὰ τῶν ια΄ ἡμερῶν τῆς ὑστερήσεως ἑν-
ούμεναι, ποιοῦσιν κθ΄ ϛ΄΄. καὶ οὕτως εὑρί-
σκομεν τὴν ἀπόχυσιν τοῦ πρώτου μηνός.
ἤτοι τοῦ ἔχοντος τὸ νομικὸν πάσχα. ἐντὸς
τῆς ἐαρινῆς ἰσημερίας. ἐὰν δὲ ἡ παροῦ-
σα τοῦ παρόντος πάσχα ἀπόχυσις, ἐντὸς τῶν
ἰσημερευόντων ἡμερῶν τοῦ ἀπριλλίου ὑπάρχει
τὰς ὑστερούσας κατὰ τὸ ἐπιὸν ια΄ ἡμέ-
ρας ὑπεξαίρομεν. καὶ κατὰ τὴν ἀπόχυ-
σιν ταύτην ἐντὸς τῆς ἰσημερίας, εὑρισκο-
μένης, τὸ νομικὸν πάσχα τυγχάνειν γι-
νώσκομεν. εἰ γὰρ καὶ ἐνταῦθα ιη΄ ϛ΄΄ ἡ-
μερῶν προσθήκην ποιήσωμεν, ὥστε εἰς
ἑτέραν ἐπιφθάσαι ἀπόχυσιν, τὸ πάσχα
οὐκ ἂν εὕρωμεν, διὰ τὸ μὴ ὀφείλειν εἶ-
ναι ἐπέκεινα τῆς ιη΄ τοῦ ἀπριλλίου μηνὸς
πάσχα. ὥσπερ γὰρ οὐκ ἔστι πρὸ τῆς κα΄ τοῦ
μαρτίου, οὕτως οὐδὲ μετὰ τὴν ιη΄ τοῦ ἀ-
πριλλίου μηνός. τὰ γὰρ ἀμφότερα, ἐκ
διαμέτρου τυγχάνουσι κακά. εἴτε γὰρ
κατὰ τὴν ὑπεξαίρεσιν ἀεὶ τῶν ὑστερουσῶν
ια΄ ἡμερῶν. εἴτε κατὰ τὴν προσθήκην τῶν
ιη΄ ϛ΄΄ ἡμερῶν, τὸ πάσχα τυγχάνειν λέγο-
μεν. τὸν πρῶτον τῶν μηνῶν ἀπαρνούμεθα
πρῶτον εἶναι. τάχα δὲ καὶ τὸ ὅλως εἶναι
μῆνα τῶν ἄλλων πρῶτον οὐχ ὁμολογοῦμεν.
ἐν δὲ τούτῳ πάσχουσι τινὲς ἄρα καὶ τὰ ἐν
ἀρχῇ πεποιηκέναι τὸν θεὸν τὸν κόσμον καὶ
τὰ ἐν αὐτῷ παρατρέχουσι.

Ὅταν ἀκούωμεν ὅτι ὁ παρὼν κύκλος ἐρώτ΄
τῆς σελήνης ὑπάρχει ἕκτος. καὶ ὁ παρὼν
κύκλος τοῦ ἡλίου ὑπάρχει δέκατος. πόθεν
ἔχομεν τὴν περὶ τούτου ἀκριβῆ κατάλη-
ψιν. καὶ πῶς ἔσται δῆλον, ὅτι οὐ ψευδόμεθα:

Εὐίλατος ἡ λύσις τῆς παρούσης ἐρωτήσεως.
ἐπειδὴ πιστεύομεν ὑπάρξαι ἐκ τοῦ μὴ ὄν-
τος τὰ πάντα γενέσθαι. εἰ γὰρ μὴ τοῦτο ἦν
ἄδηλον ἐτύγχανεν ἂν τὸ εἶναι τόνδε τὸν η
κύκλον ἕκτον ἢ δέκατον. ἢ μᾶλλον εἰπεῖν
φανερὸν ἂν ὑπῆρχε ψεῦδος. πᾶς γὰρ ἀ-
ριθμὸς. καὶ πᾶν ἀριθμούμενον, ἔχει τὴν οἰ-
κίαν ἀρχήν, ὅθεν ἀπήρξατο. τὸ δὲ μὴ
ἔχον ἀρχήν, οὐδὲ ἀριθμεῖσθαι δύναται. μὴ
ἀριθμούμενον δέ, πῶς ἕκτον ἢ δέκατον
λέγοιτο. ἀλλὰ μὴν ὑπ᾿ ἀρχὴν καὶ ἐκ τοῦ
μὴ ὄντος τὰ πάντα. καὶ διὰ τοῦτο πρὸς τοῖς
ἄλλοις τοῖς ὑπ᾿ ἀρχὴν οὖσι καὶ οἱ κύκλοι
ἀριθμοῦνται. ἐπειδὴ γὰρ ἀπ᾿ αὐτῆς τῆς
τοῦ κόσμου γενέσεως καὶ μέχρι τοῦ νῦν ἑξ-
ακισχίλια ἑξακόσια ψηφίζονται ἔτη. ὑ-
πάρχουσι δέ, τῆς μὲν σελήνης, κύκλοι ιθ΄.
τοῦ δὲ ἡλίου, κύκλοι κη΄. ὅταν μὲν βου-
λώμεθα τὸν ἐνιστάμενον κύκλον εὑρεῖν τοῦ ω
ἡλίου, ὀφείλομεν πάντα κη΄ ἀριθμὸν ἐξ-
αντλεῖν. καὶ οὕτως ἐξαντλοῦντες τὰ ἑξα-
κισχίλια ἑξακόσια ἔτη. ἐπειδὰν περιλει-
φθῇ τι μὴ συνεισαγόμενον καὶ αὐτὸ τοῖς
ἐξαντλουμένοις, λέγομεν τοῦτο εἶναι τὸν
τηνικαῦτα ἐφιστάμενον κύκλον τοῦ ἡλίου.
τὸ αὐτὸ καὶ ἐπὶ τῆς σελήνης: κράτησον
εἰς τὰς χεῖρας σου τὸν ͵ϛχ΄ ἀριθμόν. καὶ ἐ-
πειδὴ τὴν αὐτὴν ἀναλογίαν ἔχουσι ὁ ιθ΄ καὶ « ἔχειν ἀναλογίαν, Soloecism.
ὁ ρϙ΄ καὶ ὁ ͵αϡ΄ ἀριθμὸς διὰ τὸ σύντομον,
πρῶτον μέν, ὕφελε καθόσον ἐξαρκεῖ τὸν
͵αϡ΄ ἀριθμόν. ἤγουν ἐκ τρίτου. καὶ καταλιμ-
πάνονται ἀπὸ τῶν ͵ϛχ΄ ϡ΄. καὶ μετὰ ταῦτα
ὕφελε καθόσον ὁμοίως ἐξαρκεῖ. ἤγουν
τετράκις τὸν ρϙ΄. καὶ ἐναπομένουσιν ρμ΄.
τοῦ λοιποῦ οὖν ὕφελε τὸν ιθ΄ ἑπτάκις. καὶ
ἐναπομένουσιν ἀνεξάντλητα ζ΄. καὶ ἔστιν ὁ
ἐνιστάμενος κύκλος τῆς ☾, ζ΄. τὸ αὐτὸ

ποίει καὶ ἐπὶ τῇ εὑρέσει τοῦ ἡλιακοῦ κύκλου. καὶ κράτει μὲν ὁμοίως τὰ $\overline{\sigma\chi}$. εἶτα ἐπεὶ ὁ $\overline{\kappa\eta}$ ἀριθμὸς. καὶ ὁ $\overline{\sigma\pi}$ καὶ ὁ $\overline{\beta\omega}$ μίαν καὶ τὴν αὐτὴν ἀναλογίαν ἔχουσιν, ἐν πρώτοις μὲν ὕφελε ἐκ δευτέρου τὸν $\overline{\beta\omega}$. εἶτα τὸν διακόσια $\overline{\pi}$ ἐκ τρίτου. καὶ μετὰ τοῦτο, τὸν $\overline{\kappa\eta}$ πεντάκις. καὶ ἐναπομένουσιν $\overline{\pi}$. καὶ ἔστιν ὁ ἡλιακὸς κύκλος, εἰκοστός.

ἐρώτησις
λέγεται διατί λέγεται ὁ ἰαννουαρίου θεμέλιος τοῖς βουλομένοις ψηφίσαι καὶ εὑρεῖν τὸν ἐνιστάμενον ἀριθμὸν τῆς ☾. ἔχομεν γὰρ τινὰ διδασκαλίαν λέγουσαν. ὡς εἰ βούλει ψηφίσαι καὶ εὑρεῖν πόστην ἔχει ἡ σελήνη κατὰ τήνδε τὴν ἡμέραν. ἔχε πρῶτον ἐν εἰδήσει πόστην ἔχει ὁ θεμέλιος τοῦ κύκλου ἐκείνου τουτέστιν ὁ ἰανουαρίου καὶ οὕτως ψηφίζει. διατί οὖν εἰς τὴν ψῆφον τῆς εὑρέσεως τῶν ἡμερῶν τῆς ☾ θεμέλιος ὁ ἰαννουαρίου λέγεται. ἤτοι ἡ πρώτη τοῦ αὐτοῦ ἰαννουαρίου μηνός.

Διὰ τοῦτο θεμέλιος εἴρηται. διότι ὅπερ οὐκ ἔστιν ἐν ἄλλῳ τῶν μηνῶν εὑρεῖν, τοῦτο ἐν τῷ ἰαννουαρίῳ μηνὶ τεθεώρηται. πάντες γὰρ ὥσπερ ἔχωσιν, ἐχέτωσαν. ἐπεὶ εἰς τοῦτο συντείνουσιν οὐδ᾽ ὅλως. οὗτος δὲ ὀφείλει σοι εἶναι γνωστὸς πόστην ἡ σελήνη ἔχει κατὰ τὴν πρώτην αὐτοῦ καὶ εἰ τοῦτο ἔχεις μετὰ ἀκριβείας, εὐθὺς ἔχεις ψηφίζων εὑρεῖν. καὶ τὸ πόστην ἔχει ἡ σελήνη κατὰ τήνδε ἢ τὴν τήνδε ἡμέραν. οἷον τί λέγω. ἔστω κατὰ τὴν σήμερον $\overline{\iota\beta}$ τοῦ αὐγούστου μηνὸς, καὶ ἐρωτᾷ τις. πόστην ἔχει ἡ ☾ κατὰ ταύτην τὴν ἡμέραν. λέγομεν δὲ, ἐπεὶ ὁ τρέχων κύκλος ζος ἐστὶν, ἄρ᾽ ἔχει καὶ ὁ θεμέλιος αὐτοῦ, ἡμέρας $\overline{\iota\eta}$. οὕτως γὰρ ὁ θεμέλιος συμβαίνει ἔχειν ἐν τῷ κύκλῳ αὐτοῦ τῷ ζῳ. ἤγουν ἡμέρας $\overline{\iota\eta}$. ἐπεὶ δὲ ἡμέρας ἔχει $\overline{\iota\eta}$ ὁ θεμέλιος, κράτει
φεβρουαρ. αὐτάς. τὸν γ φεβρουάριον ἄφες. ἀπὸ δὲ τοῦ μαρτίου μηνὸς καὶ εἰς τὸ ἑξῆς, λάμβανε κατὰ μῆνα ἡμέραν μίαν. ἤτοι τοῦ μαρτίου μηνός. τοῦ ἀπριλλίου τοῦ μαΐου. τοῦ ἰουνίου καὶ τοῦ ἰουλλίου, γινομένας ἡμέρας πέντε. καὶ ἐπειδὴ ἔφθασας εἰς τὸν αὔγουστον μῆνα, λάβε καὶ τούτου τὰς $\overline{\iota\beta}$ ἡμέρας. καὶ γίνονται πᾶσαι αἱ ἡμέραι, $\overline{\lambda\varepsilon}$. ὕφελε δὲ τὴν τριακοντάδα. καὶ ἀπομένουσιν ἡμέραι $\overline{\theta}$. καὶ λέγομεν πέντε ἔχειν τὴν σελήνην κατὰ τὴν $\overline{\iota\beta}$ τοῦ αὐγούστου μηνός. οὕτως δὲ ἀεὶ εἰ ποιεῖς, οὐδέποτέ σε λάθη τὸ πόστας ἔχει ἡ σελήνη ἡμέρας ἐν τῇδε ἢ τῇδε τῇ ἡμέρᾳ. ἀλλὰ ταῦτα μὲν κατὰ τὸ ποιμενικόν. τὸ δὲ πάντη ἀκριβέστερον τῆς εὑρέσεως κάτω ῥηθήσεται. χρὴ δὲ γινώσκειν ὅτι ἡ σελήνη, οὐ μέχρι τῶν $\overline{\lambda}$ ἀνέρχεται. ἀλλὰ μέχρι τῶν $\overline{\kappa\theta}$ ς''. ὁμοίως δὲ καὶ ἐν τῇ ἀποχύσει οὐκ ἔρχεται ἄχρι τῶν $\overline{\iota\varepsilon}$. ἀλλὰ μέχρι τῶν $\overline{\iota\delta}$ ς'' δ''. καὶ ὅτι ποιμενικὴ ἡ εὕρεσις τῆς τοιαύτης ψήφου λέγεται. διὰ τὸ εὑρεθῆναι καὶ δοθῆναι εἰς παρασύντομον διάγνωσιν περὶ τῶν ἡμετέρων ἁγίων ποιμένων τῶν ἐν τῇ μεγάλῃ συνόδῳ καθὼς ἔν τισιν ἐγγράφως εὑρήκαμεν. καιροῦ δὲ τοῦ ἀναγκαίου ἐπιστάντος, καὶ τὸ ἀκριβέστερον ῥηθήσεται περὶ τοῦ τελείου τῆς ☾ συντελεσμοῦ.

Πόθεν ὀφείλομεν γινώσκειν τοῦ ἐν ἑκάστῳ σεληνιακῷ κύκλῳ θεμελίου τὰς ἡμέρας. καὶ πῶς συνίσταται ἡ ἀκριβὴς ἐν ἑκάστῳ τούτων κατάληψις.

Χρὴ γινώσκειν ὅτι ἐν τῷ πρώτῳ ἀεὶ σεληνιακῷ κύκλῳ, ὁ θεμέλιος ἔχει ἡμέρας $\overline{\iota\beta}$. καὶ ὀφείλεις ταύτας κρατεῖν ὡς ἀμεταθέτους. εἶτα καθ᾽ ἕκαστον ἔτος προστιθέναι ἡμέρας $\overline{\iota\alpha}$. καὶ τὸ συναγόμενον ἐξ ἀμφοτέρων ποσὸν, τοῦτο λέγειν εἶναι τὸν θεμέλιον τοῦ ἐπιόντος κύκλου. ἐπειδὰν δὲ ἐν ταῖς καθ᾽ ἕκαστον κύκλον προσθήκαις τὸν ἀριθμὸν παρέλθῃς τῶν τριάκοντα, ὀφείλεις ἐκβάλλειν τὴν τριακοντάδα. καὶ τὸν καταλιμπανόμενον τοῦτον λέγειν εἶναι τὸν θεμελίου ἐκείνου ἀριθμόν. οἷον τί λέγω. ὁ θεμέλιος τοῦ πρώτου κύκλου τῆς ☾ ἔχει $\overline{\iota\beta}$. βάλε καὶ $\overline{\iota\alpha}$, καὶ γίνονται $\overline{\kappa\gamma}$. εἶτα βάλε καὶ $\overline{\iota\alpha}$, καὶ γίνονται $\overline{\lambda\delta}$. ἐπεὶ οὖν ὑπερέβης τὸν $\overline{\lambda}$ ἀριθμὸν, ὕφελε τὴν τριακοντάδα καὶ ἐναπομένουσι, $\overline{\delta}$. πρόσθες οὖν ἡμέρας $\overline{\iota\alpha}$. καὶ γίνονται $\overline{\iota\varepsilon}$. καὶ ἔχει ὁ θεμέλιος τοῦ δου κύκλου, ἡμέρας $\overline{\iota\varepsilon}$. καὶ αὖθις πρόσθες ἡμέρας $\overline{\iota\alpha}$. καὶ ἔχει ὁ $\overline{\varepsilon}$ κύκλος, ἡμέρας $\overline{\kappa\varsigma}$. καὶ ἔτι πρόσθες $\overline{\iota\alpha}$. καὶ γενομένων ἀμφοτέρων $\overline{\lambda\zeta}$ ὕφελε καὶ νῦν τὴν τριακοντάδα. καὶ ἔχει ὁ ἕκτος κύκλος ἡμέρας $\overline{\zeta}$. οὕτως ποίει καὶ οὐδέποτε ἐκπέσῃς τῆς τοῦ θεμελίου ποσότητος. εὑρήσεις γὰρ τὸν ζον κύκλον, ὅτι $\overline{\iota\eta}$. τὸν $\overline{\eta}$, ὅτι $\overline{\kappa\theta}$. τὸν $\overline{\theta}$, ὅτι $\overline{\iota}$. τὸν $\overline{\iota}$, ὅτι $\overline{\kappa\alpha}$. τὸν $\overline{\iota\alpha}$, ὅτι $\overline{\beta}$. τὸν $\overline{\iota\beta}$, ὅτι $\overline{\iota\gamma}$. τὸν $\overline{\iota\gamma}$, ὅτι $\overline{\kappa\delta}$. τὸν $\overline{\iota\delta}$, ὅτι $\overline{\varepsilon}$. τὸν $\overline{\iota\varepsilon}$, ὅτι $\overline{\iota\varsigma}$. ἀπὸ δὲ τοῦ $\overline{\iota\varepsilon}$ κύκλου, παρ᾽ ἡμῶν ἐγνώσθη διαφορά τις οὐ μικρά. καὶ αὕτη οὐ χωρὶς ἀποδείξεως. ἀλλὰ μετ᾽ ἐπι[illegible]σας πολλῆς. ἣν ἐν τοῖς ἔμπροσθεν ῥᾳδίως καὶ αὐτὸς διαγνώσῃ. τῶν

γὰρ ἄχρι

γὰρ ἄχρι τοῦ νῦν περὶ τῆς τῶν θεμελίων γεγραφάντων εὑρέσεως ἐνδεκάδας προστίθεσθαι διὰ πάντων τῶν κύκλων εἰρηκότων μέχρι καὶ αὐτοῦ τοῦ ιθ, ἡμεῖς διέγνωμεν τῆς μετὰ ἀληθείας εὑρεῖν τὸν θεμέλιον βουλομένοις τοῦ ιϛ κύκλου καὶ τοῦ ιζ, μὴ ὀφείλειν προστιθέναι ια· ἐπὶ τῷ παρελθόντι θεμελίῳ ἵνα εὑρήσει τὸν ἐνιστάμενον ἤγουν τὸν ιϛ καὶ ιζ· ἀλλὰ καὶ ια (?) ὥστε τὸν θεμέλιον τοῦ ιε κύκλου, ἔχειν ὡς εἴρηται ιϛ· τοῦ δὲ ιϛ, κζ (?)· καὶ τοῦ ιζ, θ. τοὺς δὲ ἑξῆς αὖθις διὰ τῆς προσθήκης τῶν ια κατὰ τοὺς παρελθόντας, κἀντεῦθεν ἔχειν τὸν ιη, κ, καὶ τὸν ιθ, α. δεκαεννέα οὖν εἰσὶν οἱ κύκλοι τῆς σελήνης· διὰ δὲ τοῦτο, ιθ καὶ οἱ θεμέλιοι. ἐὰν γὰρ θελήσωμεν καὶ εἰς τὸ πρόσω χωρῆσαι καὶ εἰπεῖν ὅτι ἐστὶ καὶ εἰκοστοῦ κύκλου θεμέλιος, εἴη ἂν ἔχων ὁ κ κύκλος, θ μὲν ἡμέρας ιβ· καὶ ἔσται ὁ αὐτὸς τῷ πρώτῳ. καὶ ὁ κα, ἔσται ἔχων κγ. καὶ ἔσται ὁ αὐτὸς τῷ β$^{ῳ}$. λοιπὸν οὖν ἀναγκαῖον εὑρίσκεται καὶ ἐντεῦθεν ἐπέκεινα τῶν δεκαεννέα· μήτε σεληνιακοὺς εἶναι κύκλους μήτε θεμελίους.

ἐρώτ(ησις).

Τοῦ ἰαννουαρίου μηνὸς λεγομένου εἶναι θεμελίου τῆς σελήνης, διατί κατὰ τὸν ἰαννουάριον μῆνα μὴ τελειοῦσθαι τὸν σεληνιακὸν κύκλον λέγομεν, ἀλλὰ κατὰ τὸν ἐν τῷ νομικῷ πάσχα ἀπόχυσιν· εἰ δὲ ἐν τῇ τοιαύτῃ ἀποχύσει ἀναγκαῖον τυγχάνει τὴν τελείωσιν παντὸς σεληνιακοῦ κύκλου λέγεσθαι, διατί μὴ καὶ τὸν θεμέλιον τηνικαῦτα εἶναι φαμέν.

Τὰ κύκλῳ φερόμενα πάντα, ἐκεῖσε τὸ τέλος τῆς οἰκείας φορᾶς ἀπαρτίζουσιν, ὅθεν καὶ τὴν τοῦ φέρεσθαι ἀρχὴν προσελάβοντο· ἐπεὶ οὖν καὶ ἡ σελήνη τὴν τοῦ εἶναι ἐκφέρεσθαι ἀρχὴν ἀπὸ τῆς ιε τοῦ μαρτίου μηνός. καὶ τῆς τηνικαῦτα γενομένης ἀπείληφεν ἀπηχύσεως, καὶ τὸν ὅλον κυκλεύσασα τῷ τότε κύκλον αὐτῆς· ἀπόχυσιν μὲν ὅθεν ἀπήρξατο οὐχ εὗρεν· ἀλλὰ ταύτην πρὸ ἡμερῶν ια πεπονθυῖαν (?) ὅτε καὶ τὸ τοῦ κύκλου ὁλόκληρον ἔτι ἀτελὲς ἦν, δεόντως εἰς τὴν ἐφεξῆς ἀπόχυσιν, ἐτελείωσε, τὴν ἐντὸς μὲν τῆς ἐαρινῆς ἰσημερίας ὑπάρξασαν. εἰς δὲ τὴν δευτέραν τοῦ ἀπριλλίου μηνὸς καταλήγουσαν, ἀναγκαίως ἄρα καὶ τοὺς κύκλους αὐτῆς τελειοῦν εἰς τὰς ἐν ταῖς τῆς ἐαρινῆς πρώτης ἰσημερίας ἀποχύσεις αὐτῆς καὶ εἰς τὸ ἑξῆς παραδέδωκε. καὶ τοῦτο μὲν διὰ ταῦτα· ὁ θεμέλιος δέ, διατί ὧδε οὐ λέγεται· ἀλλὰ κατὰ τὸν ἰαννουάριον μῆνα ἔχει οὕτως· ὁ θεμέλιος ἰσότητα ὀφείλει ἔχειν· ἵνα ἀπὸ ἰσότητος μετὰ ἀκριβείας εὑρίσκει πόσας ἔχει ἡμέρας ὁ σεληνιακὸς μήν, ἐν τῇδε ἢ τῇδε τῇ ἡμέρᾳ τοῦ ἡλιακοῦ μηνός· ἐν δὲ τοῖς πασχαλίοις ὡς πολλάκις εἰρήκαμεν, οὐκ ἔστιν ἰσότης· ἰσότητα δὲ φημί. ἵνα τοσοῦτον ἀεὶ ὑστερῇ τὸ δωδεκάμηνον τοῦ ἡλίου ὁπόσον ὁ θεὸς ὑστερεῖσθαι ἀπ' ἀρχῆς ἐσταθμίσατο· ἤγουν ἡμέρας ια. ὅπερ ἐν μὲν τοῖς πασχαλίοις οὐκ ἔστιν· ἐν δὲ τῇ πρώτῃ τοῦ ἰαννουαρίου μηνὸς ἀεὶ τοῦτο ὑπάρχειν ὁρᾶται. ἀεὶ γὰρ ὁ ἐπιὼν κύκλος ὑστερεῖται ἀπὸ τοῦ προλαβόντος ἡμέρας ια. καὶ ὁπηνίκα διὰ τῶν ἐτησίως ὑστερουμένων ἐνδεκάδων, τριακονθήμερον συμποσωθῇ, καταλιμπάνεται ἀεὶ τὸ τριακονθήμερον. καὶ ὁ περιττεύων ἀριθμὸς κρατεῖται καὶ τοῖς ἐφεξῆς συμψηφίζεται· καὶ πάλιν τὸ αὐτὸ γίνεται, ἕως ἂν εἰς τὸν ιθ καταλήξῃ κύκλον. κἀκεῖθεν μὴ ἔχων ἕτερον τινὰ εἰκοστὸν τάχα κύκλον ποιῆσαι θεμέλιον, εἰς τὸν πρῶτον αὖθις ἐπανατρέχει κύκλον ὡς ἄνωθεν εἴπομεν.

Τίς ὁ ἑκάστῳ κύκλῳ ὀφείλων κρατεῖσθαι θεμέλιος· καὶ πόσας ἐν ἑκάστῳ κύκλῳ ὁ θεμέλιος ἔχει· ὁποῖον τε καὶ ἐν ἑκάστῳ κύκλῳ ἀφωρισμένον πασχάλιον. καὶ πόσας ἐν ἑκάστῳ θεμελίῳ τὸ πάσχα ἔχει.

Ἐν τῷ πρώτῳ κύκλῳ, ὁ θεμέλιος ιβ. κατὰ τὴν προσθήκην τῶν ἐνδεκάδων καὶ τὴν περισσεύουσαν μίαν τοῦ ιθ κύκλου. ἡ γὰρ τριακοστὴ πρώτη τοῦ ἰαννουαρίου μηνός, καὶ κη τοῦ φεβρουαρίου, ἀπαρτίζουσι σεληνιακοὺς μῆνας β. διὰ τὸ ἔχειν αὐτοὺς ἡμέρας νθ. τὸ πάσχα ἀπριλλίου εἰς τὰς β:

| | | | |
|---|---|---|---|
| ἐν τῷ β κύκλῳ | ὁ θεμέλιος κγ. | τὸ πάσχα | μαρτίου κβ. |
| ἐν τῷ γ κύκλῳ | ὁ θεμέλιος ιε | τὸ πάσχα | μαρτίου λ. |
| ἐν τῷ ε κύκλῳ | ὁ θεμέλιος κϛ | τὸ πάσχα | * ἀπριλλίου ιη. |
| ἐν τῷ ϛ κύκλῳ | ὁ θεμέλιος ζ | τὸ πάσχα | ἀπριλλίου ζ. |
| ἐν τῷ ζ κύκλῳ | ὁ θεμέλιος ιη | τὸ πάσχα | κζ |

* quartus hic omi(ssus)

Marginalia (left): ? ; idem q(uod) primus ; o ; per

| | | |
|---|---|---|
| ἐν τῷ η κύκλῳ | ὁ θεμέλιος κθ | τὸ πάσχα ἀπριλλίου ιε. |
| ἐν τῷ θ κύκλῳ | ὁ θεμέλιος ι | τὸ πάσχα ἀπριλλίου δ. |
| ἐν τῷ ι κύκλῳ | ὁ θεμέλιος κα | τὸ πάσχα μαρτίου κδ. |
| ἐν τῷ ια κύκλῳ | ὁ θεμέλιος β | τὸ πάσχα ἀπριλλίου ιβ. |
| ἐν τῷ ιβ κύκλῳ | ὁ θεμέλιος ιγ | τὸ πάσχα ἀπριλλίου α. |
| ἐν τῷ ιγ κύκλῳ | ὁ θεμέλιος ιδ | τὸ πάσχα μαρτίου κα. |
| ἐν τῷ ιδ κύκλῳ | ὁ θεμέλιος ε | τὸ πάσχα ἀπριλλίου θ. |
| ἐν τῷ ιε κύκλῳ | ὁ θεμέλιος ις | τὸ πάσχα μαρτίου κθ. |
| ἐν τῷ ις κύκλῳ | ὁ θεμέλιος κζ ς″ | τὸ πάσχα ἀπριλλίου ις. |
| ἐν τῷ ιζ κύκλῳ | ὁ θεμέλιος θ | τὸ πάσχα ἀπριλλίου ε. |
| ἐν τῷ ιη κύκλῳ | ὁ θεμέλιος κ | τὸ πάσχα μαρτίου κε. |
| ἐν τῷ ιθ κύκλῳ | ὁ θεμέλιος α | τὸ πάσχα ἀπριλλίου ις. |

Πόθεν δῆλ(ον) … ἔκθεσις τῶν θεμελίων ἀληθεύει. εὑρίσκεται γὰρ καὶ ἑτέρα ἐν πολλοῖς τῶν θεμελίων ἔκθεσις μὴ τριακοντάδας ὑπεξαιροῦσα ἀπὸ τοῦ ἀναβιβαζομένου ἐκ τοῦ τῶν ἐτησίων ἑνδεκάδων συμψηφισμοῦ. ἀλλὰ κθ ς″. διὰ τὸ ἑκάστην πανσέληνον ἤτοι μῆνα σεληνιακὸν μὴ διὰ λ. ἀλλὰ διὰ κθ ς″ ἡμερῶν ἀπαρτίζεσθαι. καὶ ποιοῦσα τὸν θεμέλιον τοῦ πρώτου κύκλου ἔχειν ιβ. τοῦ β, κγ. τοῦ γ, δ ς″. τοῦ δ, ιε ς″. τοῦ ε κς ς″. τοῦ ς, η. τοῦ ζ ιθ. τοῦ η λ. τοῦ θ, ια ς″. τοῦ ι, κβ ς″. τοῦ ια δ. τοῦ ιβ ιε. τοῦ ιγ, κς. τοῦ ιδ, ζ ς″. τοῦ ιε, ιη ς″. τοῦ ις, κθ ς″. τοῦ ιζ, ια. τοῦ ιη κβ. τοῦ ιθ, γ ς″. λοιπὸν καὶ ἔστιν ἀμφιβολία. ἢ μᾶλλον τῆς ἄλλης ἀληθευούσης ποία ἐστίν;

Τὰ κθ ς″ ἀπολύουσα αὕτη ἔκθεσις ἀπὸ τῶν ἀναβιβαζομένων ἐν τῷ συμψηφισμῷ τῶν ἐτησίων ἑνδεκάδων. καὶ τὰ ἐφεξῆς κρατοῦσα καὶ συμψηφίζουσα, ὅτι ψευδής ἐστι δήλη τυγχάνει. καὶ ἐκ τοῦ τὸν ιθ κύκλον ποιεῖν ~~κύκλον~~ ἔχειν ἐν τῷ θεμελίῳ αὐτοῦ ἡμέρας γ ς″. κἀντεῦθεν μὴ τὸν πρῶτον εἰσάγεσθαι κύκλον. ἀλλὰ ν(?)ατρέπεσθαι. καὶ ἕτερον ἐπινοεῖσθαι κύκλον εἰκοστὸν. φέροντα ἐν τῷ θεμελίῳ αὐτοῦ ἡμέρας ιδ ς″. καὶ συνελόντι εἰπεῖν, τὴν ἀπὸ χρόνων ἀπείρων κρατήσασαν τῶν ιθ τῆς σελήνης κύκλων παράδοσιν ἀθετεῖσθαι καὶ οὐδὲν λογίζεσθαι. ἔπειτα ἐπεὶ τοῦτο οὐκ ἀρκεῖ εἰς ἀναγκαίαν ἀπόδειξιν, λέγομεν καὶ οὕτως. ἐπειδὴ τὸ νομικὸν πάσχα ἐν ταῖς ἀποχύσεσι τῆς σελήνης ἀεὶ ἐκτελεῖται, ἴδωμεν ποῖαι θεμελίων ἡμέραι συμψηφιζόμεναι μετὰ τῶν ἑξῆς ἡμερῶν τῶν ἄχρις αὐτῆς τῆς ἡμέρας τοῦ πάσχα εἰς ἀπόχυσιν καταντῶσιν, ἄρα ταύτης τῆς ἐκθέσεως ἢ ἐκείνης. εἰ μὲν οὖν αἱ ἡμέραι τῆς ἐκθέσεως ἐκείνης ἣν ἡμεῖς ἐκθέμεθα, δῆλον ὅτι ἐκείνη ἀληθεύει αὕτη δὲ ψεύδεται. εἰ δὲ αἱ ἡμέραι ταύτης, αὕτη μὲν ἀληθεύει· ἐκείνη δὲ ψεύδεται. οἷόν τι φημί. ἔχει ὁ τοῦ πρώτου κύκλου θεμέλιος ἡμέρας ιβ. εἰσὶ καὶ αἱ λοιπαὶ τοῦ ὅλου ἰανουαρίου μηνός, ἀπὸ λα, λ. ἡ γὰρ πρώτη αὐτοῦ ὡς εἴπωμεν ἐν τῷ θεμελίῳ συνεισήχθη. τοῦ φεβρουαρίου ἡμέραι κη δ′. τοῦ μαρτίου λα. καὶ τοῦ ἀπριλλίου ἡμέραι β. ὁμοῦ ἡμέραι ργ δ′ ἐξ ὧν πανσέληνοι τρεῖς, ἤτοι ἡμέραι πη ς″. καὶ λοιπαὶ ἄχρι τοῦ πάσχα ἡμέραι ιδ ς″ δ′. καθ' ἃς ἡ ἀπόχυσις γίνεται. καὶ ἰδοὺ ἰσάζουσιν αἱ ἡμέραι τοῦ θεμελίου τοῦ ἄχρι τῆς ἀποχύσεως τοῦ πάσχα συμψηφισμοῦ. ἔχομεν γὰρ ἀποδεδειγμένον ὅτι κατὰ τὴν δευτέραν τοῦ ἀπριλλίου ἐν τῷ πρώτῳ κύκλῳ τὸ νομικὸν πάσχα εὑρίσκεται. ὥσπερ δὲ ἐν τούτῳ ἐστίν. ἐὰν καὶ τῇ λοιπῇ πάσῃ ἐκθέσει τοῦ θεμελίου τῶν ιη κύκλων ὁ αὐτὸς ἰσασμὸς εὕρηται, εἴτε ἐν ταύτῃ τῇ ἐκθέσει, εἴτε ἐν ἐκείνῃ. καὶ συναληθεύει τῶν θεμελίων. καὶ τῶν πασχαλίων κατάληψις ἐν τῷ καταντᾶν εἰς ἀπόχυσιν· φανερὸν ἐστὶν ὅτι ἐκείνη ἔχει τὸ κῦρος ἡ ἐν τούτοις ἄπταιστος διαμένουσα. ἡ δὲ ἄλλη ὡς πταιστὴ καταλέλειπται. ῥητέον οὖν πρῶτόν τε τῆς ἡμετέρας καὶ πρώτης ἐν σχήματι κανονίου διὰ τὸ εὔγνωστον·

κύκλος σελήνης α. ὁ θεμέλιος ιβ ἰανουαρίου λ. φεβρουαρίου κη δ′. μαρτίου λα. ἀπριλλίου β. ὁμοῦ ργ δ′. ἐξ ὧν πανσέληνοι τρεῖς. ἤτοι ἡμέραι πη ς″. καὶ λοιπαὶ ἡμέραι, ιδ ς″ δ′.

κύκλος σελήνης δεύτερος. ὁ θεμέλιος κγ. ἰανουαρίου λ. φεβρουαρίου κη δ′. μαρτίου κβ. ὁμοῦ ργ δ′. ἐξ ὧν πανσέληνοι τρεῖς. ἤτοι ἡμέραι πη ς″. καὶ λοιπαὶ ἡμέραι ιδ ς″ δ′.

κύκλος σελήνης γ. ὁ θεμέλιος δ. ἰανουαρίου λ. φεβρουαρίου κη δ′. μαρτίου λα. ἀπριλλίου ι. ὁμοῦ ργ δ′. ἐξ ὧν πανσέληνοι τρεῖς. ἤτοι ἡμέραι πη ς″. καὶ λοιπαὶ ἡμέραι ιδ ς″ δ′.

κύκλος σελήνης δ. ὁ θεμέλιος ιε. ἰανουαρίου.

λεγ. ἀλλ' ἄν.

λ΄. φεβ κη δ΄΄. μαρτίου λ΄. ἀπριλλ ι΄. ὁμοῦ ργ δ΄΄. ἐξ ὧν πανσέληνοι τρεῖς. ἤτοι ἡμέραι πη ς΄΄. καὶ λοιπαὶ ἡμέραι ιδ ς΄΄ δ΄΄.

κύκλος ☾ ε. ὁ θεμέ κς. ἰαννουαρίου λ΄. φεβ. κη δ΄΄. μαρ λα΄. ἀπριλλ ιζ ς΄΄. ὁμοῦ ρλβ ς΄΄ δ΄΄ ἐξ ὧν πανσέληνοι δ΄. ἤτοι ἡμέραι ριη. καὶ λοιπαὶ ἡμέραι ιδ ς΄΄ δ΄΄.

κύκλος ☾ ς. ὁ θεμέ ζ΄. ἰαννουαρ λ΄. φεβ κη δ΄΄ μαρ λα. ἀπριλλίου ζ΄. ὁμοῦ ργ δ΄΄. ἐξ ὧν πανσέληνοι τρεῖς. ἤτοι ἡμέραι πη ς΄΄ καὶ λοιπαὶ ἡμέραι ιδ ς΄΄ δ΄΄.

κύκλος ζ. ὁ θεμέ ιη. ἰαννουαρ λ΄. φεβ κη δ΄΄ μαρτίου κζ. ὁμοῦ ργ δ΄΄. ἐξ ὧν πανσέληνοι τρεῖς. ἤτοι ἡμέραι πη ς΄΄. καὶ λοιπαὶ ἡμέραι ιδ ς΄΄ δ΄΄.

κύκλος η. θεμέ κθ. ἰαννου λ΄. φεβ κη δ΄΄. μαρτίου λα΄. ἀπριλλίου ιδ ς΄΄. ὁμοῦ ρλβ ς΄΄ δ΄΄. ἐξ ὧν πανσέληνοι δ΄. ἤτοι ἡμέραι, ριη. καὶ λοιπαὶ ἡμέραι ιδ ς΄΄ δ΄΄.

κύκλος θ. ὁ θεμέ ι. ἰαννου λ΄. φεβ κη δ΄΄. μαρ λα΄. ἀπριλλ δ΄. ὁμοῦ ργ δ΄΄. ἐξ ὧν πανσέληνοι τρεῖς. ἤτοι ἡμέραι πη ς΄΄. καὶ λοιπαὶ ἡμέραι ιδ ς΄΄ δ΄΄.

κύκλος ι. ὁ θεμέ κα. ἰαννου λ΄. φεβ κη δ΄΄. μαρτίου κδ. ὁμοῦ ργ δ΄΄. ἐξ ὧν πανσέληνοι τρεῖς. ἤτοι ἡμέραι πη ς΄΄. καὶ λοιπαὶ ἡμέραι ιδ ς΄΄ δ΄΄.

κύκλος ια. ὁ θεμέλιος β. ἰαννουαρ λ΄. φεβ κη δ΄΄. μαρτίου λα΄. ἀπριλλίου ιβ. ὁμοῦ ρδ δ΄΄. ἐξ ὧν πανσέληνοι γ. ἤτοι ἡμέραι πη ς΄΄. καὶ λοιπαὶ ἡμέραι, ιδ ς΄΄ δ΄΄.

κύκλος ιβ ὁ θεμέλιος ιγ. ἰαννου λ΄. φεβ κη δ΄΄. μαρτίου λα΄. ἀπριλλίου α΄. ὁμοῦ ργ δ΄΄. ἐξ ὧν πανσέληνοι, τρεῖς. ἤτοι ἡμέραι πη ς΄΄. καὶ λοιπαὶ ἡμέραι, ιδ ς΄΄ δ΄΄.

κύκλος ιγ. ὁ θεμέ κδ. ἰαννου λ΄. φεβ κη δ΄΄. μαρτίου κα. ὁμοῦ ργ δ΄΄. ἐξ ὧν πανσέληνοι ἡμεῖς, ἤτοι ἡμέραι πη ς΄΄, καὶ λοιπαὶ ἡμέραι ιδ ς΄΄ δ΄΄.

(margin: hic incipit quaternio 4us — + τρεῖς)

κύκλος ιδ. ὁ θεμέ ε. ἰαννουαρ λ΄. φεβ κη δ΄΄. μαρτίου λα. ἀπριλλίου θ. ὁμοῦ ργ δ΄΄. ἐξ ὧν πανσέληνοι γ. ἤτοι ἡμέραι πη ς΄΄. καὶ λοιπαὶ ἡμέραι ιδ ς΄΄ δ΄΄.

κύκλος ιε. ὁ θεμέλιος ις. ἰαννου λ΄. φεβ κη δ΄΄. μαρτίου κθ. ὁμοῦ ργ δ΄΄, ἐξ ὧν πανσέληνοι γ. ἤτοι ἡμέραι πη ς΄΄. καὶ λοιπαὶ ἡμέραι ιδ ς΄΄ δ΄΄.

κύκλος ις. ὁ θεμέλιος κζ ς΄΄. ἰαννουαρ λ΄. φεβ κη δ΄΄. μαρ λα. ἀπριλλίου ις. ὁμοῦ ρλβ ς΄΄ δ΄΄ ἐξ ὧν πανσέληνοι δ΄΄. ἤτοι ἡμέραι ριη. καὶ λοιπαὶ ἡμέραι ιδ ς΄΄ δ΄΄.

κύκλος ιζ. ὁ θεμέ θ. ἰαννουαρ λ΄. φεβ κη δ΄΄. μαρτίου λα. ἀπριλλ ε. ὁμοῦ ργ δ΄΄. ἐξ ὧν πανσέληνοι γ. ἤτοι ἡμέραι ριη. καὶ λοιπαὶ ἡμέραι ιδ ς΄΄ δ΄΄.

κύκλος ιη. ὁ θεμέ κ. ἰαννου λ΄. φεβ κη δ΄΄. μαρ κε. ὁμοῦ, ργ δ΄΄. ἐξ ὧν πανσέληνοι τρεῖς. ἤτοι ἡμέραι πη ς΄΄. καὶ λοιπαὶ ἡμέραι ιδ ς΄΄ δ΄΄.

κύκλος ιθ. ὁ θεμέ, α. ἰαννου λ΄. φεβ κη δ΄΄. μαρ λα. ἀπριλλ ιγ. ὁμοῦ, ργ δ΄΄ ἐξ ὧν πανσέληνοι γ, ἤτοι ἡμέραι, πη ς΄΄. καὶ λοιπαὶ ἡμέραι ιδ ς΄΄ δ΄΄. ὁρᾷς ὅπως ἰσάζει ἡ παρ' ἡμῶν τοῦ θεμελίου ἔκθεσις εἰ καὶ μὴ πάντη λελεπτολογημένον ἐπιφέρεται. πάντα γὰρ ὅσα περὶ θεμελί καὶ πασχαλίων εἴρηται, παχυμερῶς ἐρρέθη διὰ τὴν ῥᾳδίαν κατάληψιν. τὸ δὲ λεπτότερον ἐν τόπῳ ῥηθήσεται τῷ προσήκοντι. ἴδωμεν οὖν ὅπως ἔχει πρὸς ἀλήθειαν καὶ ἡ ἑτέρα ἔκθεσις.

κύκλος ☾ α. ὁ θεμέ ιβ. ἰαννου λ΄. φεβ κη δ΄΄. μαρ λα. ἀπριλλίου β. ὁμοῦ ργ δ΄΄. ἐξ ὧν πανσέληνοι γ. ἤτοι ἡμέραι πη ς΄΄ καὶ λοιπαὶ ἡμέραι ιδ ς΄΄ δ΄΄.

κύκλος β. ὁ θεμέ κγ. ἰαννου λ΄. φεβ κη δ΄΄. μαρτίου κβ. ὁμοῦ ργ δ΄΄. ἐξ ὧν πανσέληνοι τρεῖς. ἤτοι ἡμέραι, πη ς΄΄. καὶ λοιπαὶ ἡμέραι ιδ ς΄΄ δ΄΄.

κύκλος γ. ὁ θεμέ δ ς΄΄. ἰαννου λ΄. φεβ κη δ΄΄. μαρ λα. ἀπριλλίου ι. ὁμοῦ ργ ς΄΄ δ΄΄. ἐξ ὧν πανσέληνοι γ. ἤτοι ἡμέραι, πη ς΄΄. καὶ λοιπαὶ ἡμέραι ιε δ΄΄.

κύκλος δ. ὁ θεμέ, ιε ς΄΄. ἰαννουαρ λ΄. φεβ κη ς΄΄ δ΄΄. μαρ λ΄. ὁμοῦ ργ ς΄΄ δ΄΄ ἐξ ὧν πανσέληνοι. ἤτοι ἡμέραι πη ς΄΄. καὶ λοιπαὶ ἡμέραι ιε δ΄΄.

κύκλος ε. ὁ θεμέλιος κς ς΄΄. ἰαννου λ΄. φεβ κη δ΄΄. μαρτίου λα΄. ἀπριλλίου ιζ ς΄΄. ὁμοῦ ἡμέραι ρλγ δ΄΄. ἐξ ὧν πανσέληνοι, δ΄. καὶ λοιπαὶ ἡμέραι ιε δ΄΄.

κύκλος ϛ· ὁ θεμέ η. ἰαννουα λ΄. φεβ κη δ΄΄· μαρτίου λα. ἀπριλλίου ζ. ὁμοῦ ρδ δ΄΄. ἐξ ὧν πανσέληνοι γ. ἤτοι ἡμέραι πη ϛ΄΄. καὶ λοιπαὶ ἡμέραι ιε ϛ΄΄ δ΄΄.

κύκλος ζ. ὁ θεμέ ιθ. ἰαννου λ΄. φεβ κη δ΄΄. μαρ κζ. ὁμοῦ ρδ δ΄΄. ἐξ ὧν πανσέληνοι γ. ἤτοι ἡμέραι πη ϛ΄΄. καὶ λοιπαὶ ἡμέραι ιε ϛ΄΄ δ΄΄.

κύκλος η. θεμέ λ΄. ἰαννου λ΄. φεβ κη δ΄΄. μαρτίου λα. ἀπριλλίου ὁμοῦ ρλγ ϛ΄΄ δ΄΄. ἐξ ὧν πανσέληνοι δ. ἤτοι ἡμέραι ριη. καὶ λοιπαὶ ἡμέραι ιε ϛ΄΄ δ΄΄.

κύκλος θ΄. ὁ θεμέ ια ϛ΄΄. ἰαννουα λ΄. φεβ κη δ΄΄. μαρτίου λα. ἀπριλλίου δ. ὁμοῦ ρδ ϛ΄΄ δ΄΄. ἐξ ὧν πανσέληνοι τρεῖς. ἤτοι ἡμέραι πη ϛ΄΄. καὶ λοιπαὶ ἡμέραι ιϛ δ΄΄.

κύκλος ι. ὁ θεμέλιος κβ ϛ΄΄. ἰαννουα λ΄. φεβ κη δ΄΄. μαρτίου λα. ἀπριλλίου ιβ. ὁμοῦ ρε δ΄΄. ἐξ ὧν πανσέληνοι γ. ἤτοι ἡμέραι πη ϛ΄΄. καὶ λοιπαὶ ἡμέραι ιϛ ϛ΄΄ δ΄΄.

Hic omissus videtur κύκλος ια.

κύκλος ιβ. ὁ θεμέλιος ιε. ἰαννουα λ΄. φεβ κη δ΄΄. μαρτίου λα. ἀπριλλίου α. ὁμοῦ ρθ δ΄΄. ἐξ ὧν πανσέληνοι γ. ἤτοι ἡμέραι πη ϛ΄΄. καὶ λοιπαὶ ἡμέραι ιϛ ϛ΄΄ δ΄΄.

κύκλος ιγ. ὁ θεμέλιος κϛ. ἰαννουα λ΄. φεβ κη δ΄΄. μαρτίου λα. ὁμοῦ ρε δ΄΄. ἐξ ὧν πανσέληνοι γ. ἤτοι ἡμέραι πη ϛ΄΄. καὶ λοιπαὶ ἡμέραι ιϛ ϛ΄΄ δ΄΄.

κύκλος ιδ. ὁ θεμέ ζ ϛ΄΄. ἰαννουα λ΄. φεβ κη δ΄΄. μαρτίου λα. ἀπριλλίου θ. ὁμοῦ ρε ϛ΄΄ δ΄΄. ἐξ ὧν πανσέληνοι γ. ἤτοι ἡμέραι πη ϛ΄΄. καὶ λοιπαὶ ἡμέραι ιζ δ΄΄.

κύκλος ιε. ὁ θεμέλιος ιη ϛ΄΄. ἰαννου λ΄. φεβ κη δ΄΄. μαρ κθ. ὁμοῦ ρε ϛ΄΄ δ΄΄. ἐξ ὧν πανσέληνοι γ. ἤτοι ἡμέραι πη ϛ΄΄. καὶ λοιπαὶ ἡμέραι ιζ δ΄΄.

κύκλος ιϛ. ὁ θεμέ κθ ϛ΄΄. ἰαννουα λ΄. φεβ κη δ΄΄. μαρτίου λα. ἀπριλλίου ιϛ. ὁμοῦ ρλδ ϛ΄΄ δ΄΄. ἐξ ὧν πανσέληνοι δ. ἤτοι ἡμέραι ριη. καὶ λοιπαὶ ἡμέραι ιϛ ϛ΄΄ δ΄΄.

κύκλος ιζ. ὁ θεμέ ἰαννουα λ΄. φεβ κη δ΄΄. μαρτίου λα. ἀπριλλίου ε. ὁμοῦ ρε δ΄΄. ἐξ ὧν πανσέληνοι γ ἤτοι ἡμέραι πη ϛ΄΄. καὶ λοιπαὶ ἡμέραι ιϛ ϛ΄΄ δ΄΄.

κύκλος ιη. ὁ θεμέ κβ. ἰαννου λ΄. φεβ κη δ΄΄. μαρ κε. ὁμοῦ ρε δ΄΄. ἐξ ὧν πανσέληνοι γ. ἤτοι ἡμέραι πη ϛ΄΄. καὶ λοιπαὶ ἡμέραι ιϛ ϛ΄΄ δ΄΄.

κύκλος ιθ. ὁ θεμέ γ ϛ΄΄. ἰαννου λ΄. φεβ κη δ΄΄. μαρτίου λα. ἀπριλλίου ιγ. ὁμοῦ ρε ϛ΄΄ δ΄΄. ἐξ ὧν πανσέληνοι γ. ἤτοι ἡμέραι πη ϛ΄΄ καὶ λοιπαὶ ἡμέραι ιζ δ΄΄.

δοῦ σοι δῆλον καὶ τὸ ἐντεῦθεν σφάλμα. ἀπόχυσις γὰρ ἐπέκεινα τῶν ιδ ϛ΄΄ δ΄΄ ἡμερῶν οὐχ εὑρίσκεται πώποτε.

### διατί λέγεται θεμέλιος τῶν κύκλων τοῦ ὁ ὀκτωβρίου μὴν μόνος, καὶ ἕτερος τῶν μηνῶν οὐδείς.

Εἴπομεν ἄνωθεν. τοὺς μὲν κη κύκλους τοῦ ἡλίου διὰ τὸν ἀριθμὸν εὑρεθῆναι τῶν ἑβδομάδων. τοὺς δὲ ιθ κύκλους τῆς σελήνης, διὰ τὴν τῶν πασχαλίων γνῶσιν. καὶ ἔχεις τὰς περὶ τούτων αἰτίας ἐκεῖσε ἱκανῶς δεδειγμένας σοι. πρὸ ὀλίγου δὲ πάλιν ἐρωτηθέντες περὶ τοῦ θεμελίου τοῦ τῆς σελήνης ψήφου, εἴπομεν διὰ τοῦτο ὀνομασθῆναι θεμέλιον. τὴν πρώτην τοῦ ἰαννουαρίου μηνός. ἐπειδὴ ὅπερ ἐν ἄλλῳ μηνὶ οὐκ ἄν ποτε εὑρεθῇ, ἐν τούτῳ εὑρίσκεται. καὶ ὁ βουλόμενος ψηφίζειν. καὶ εὑρεῖν πόσην ἔχει ἡ σελήνη κατὰ τήνδε τὴν ἡμέραν, ἀναγκαῖον ἔχει πρότερον εἰδέναι. πόσην ἔχει ὁ τηνικαῦτα ἐνιστάμενος θεμέλιος. κἀκεῖθεν ἄρχεσθαι καὶ τὴν ψῆφον ποιεῖν ὡς ἡ μέθοδος. οἷον δὲ ἐκεῖσε εἴπομεν, τοῦτο καὶ ἐνταῦθα φαμὲν ὅτι τοῖς βουλομένοις εὑρεῖν κατὰ ποίαν ἡμέραν τῆς ἑβδομάδος τὸ νομικὸν πάσχα καθ᾽ ἕκαστον κύκλον γίνεται, οὐκ ἔσται ὅλως ἡ ἀκριβὴς καὶ περὶ τούτου εὕρεσις. εἰ μὴ ἀπάρξασθαι τὴν ψῆφον ποιεῖν. οὐκ ἀπ᾽ ἄλλου τινὸς τῶν μηνῶν ἀλλ᾽ ἀπὸ μόνου τοῦ ὀκτωβρίου. κατὰ τὴν μέλλουσαν ἐκτεθήσεσθαι μέθοδον. διὰ τοῦτο γὰρ καὶ οὗτος θεμέλιος εἶναι λέγεται τῶν ἡλιακῶν κύκλων. ἡ δὲ μέθοδος τῆς ψήφου ἔχει οὕτως. ἀλλὰ καὶ τὰ περὶ ταύτης ἀναδιδασκόμενος τό γε νῦν ἔχειν, αἰτίας ζητεῖν οὐκ τοῦ διὰ τοῦτο δὲ συμβαίνει καὶ τόδε. ἐν καιρῷ γὰρ τῷ δέοντι καὶ τὰ περὶ τούτου ῥηθήσεται. νῦν δὲ σὺ ῥοῦ μετὰ ἀκριβείας προγινώσκειν καὶ τούτου τὸ κατὰ ποίαν ἡμέραν τῆς ἑβδομάδος ἑλασθήσεται τὸ νομικὸν πάσχα, ὀφείλεις ἀπάρχεσθαι ἀπὸ τοῦ

καταστ. ly.

ἀπὸ τοῦ ὀκτωβρίου μηνός· καὶ ἐφ' ἑκάστῳ
τῶν μηνῶν τὰς μὲν κη ἡμέρας ἐᾶν. τὰς
δὲ ἐπέκεινα οὐ      τῆς τελειότητος τῶν
ἐν αὐταῖς τεσσάρων ἑβδομάδων ἐν δακτύ-
λοις κρατεῖν. καὶ ἀναβιβάζειν ἕως ἂν ἔλ-
θῃς εἰς τὸν μῆνα ἐκεῖνον. τὸν περὶ οὗ ἡ
ζήτησις· καὶ τηνικαῦτα συμψηφίζειν καὶ
ἀναβιβάζειν τὰς ὅλας ἡμέρας τοῦ μηνὸς
ἐκείνου, τὰς ἄχρι τῆς ἐπιζητοῦμεν ἡμέ-
ρας· εἶτα καὶ πόσον κατὰ τὸν ἀριθμὸν τοῦ
ἐνισταμένου κύκλου τοῦ ἡλίου. οἷον εἰ ἕ-
κτος καὶ ἡ ἕβδομος καὶ ἑξῆς ὁμοίως. εἶτα
πάλιν καὶ κατὰ τέσσαρας κύκλους ἀριθμὸν
ἕνα· χάριν τοῦ βισέκτου· καὶ μετὰ τὸ συμ-
ποσῶσαι πάντα, ἀφελέσθαι τὰς ἀπαρτι-
σμένας ἑβδομάδας, καὶ τὸν καταλιμπα-
νόμενον ἀριθμὸν, τοῦτον φάσκειν εἶναι
τὴν ἡμέραν τῆς ἑβδομάδος καθ' ἣν τὸ νο-
μικὸν πάσχα γίνεται. οἷον τί
διδασκομένου ἄνωθεν· ὅτι ἐν τῷ
☾ κύκλος ζ. τοῦ δὲ ἡλίου κύκλος
κ. καὶ ὅσα τὸ ἐν τῷ ἑβδόμῳ κύκλῳ τῆς σε-
λήνης νομικὸν πάσχα συμβαίνει εἶναι
μαρτίου κζ. λοιπὸν οὖν, λάβε ἀπὸ τοῦ
ὀκτωβρίου ἡμέρας γ. τὰς ἐπέκεινα δηλα-
δὴ ὡς προείρηται οὔσας τῶν τεσσάρων ἑβδο-
μάδων αὐτοῦ. λάβε καὶ ἀπὸ τοῦ νοεμβρίου
ἡμέρας β. ἀπὸ τοῦ δεκεβρίου ἡμέρας γ.
ἀπὸ τοῦ ἰανουαρίου ἡμέρας γ. ἀπὸ τοῦ
φεβ μίαν διὰ τὸ εἶναι βίσεκτον. καὶ ἀπὸ
τοῦ μαρτίου κζ. ἐν ταύταις γὰρ τὸ πάσχα.
πρόσθες αὖθις καὶ κ. κατὰ τὸν ἀριθμὸν τῶν
κύκλων τοῦ ἡλίου πρόσθες καὶ τὰς δ. βι-
σέκτους ἡμέρας διὰ τὰ ἄχρι τοῦ εἰκοστοῦ
κύκλου τελεσθέντα βίσεκτα τέσσαρα. ὁ-
μοῦ αἱ ὅλαι ἡμέραι ξγ. ἑπτάκις οὖν θ'
ξγ. καὶ καταλιμπάνεται οὐδέν. τοίνυν καὶ
λέγε ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ τὸ νομικὸν
πάσχα τηνικαῦτα γίνεσθαι. οὕτως τοίνυν
ποίει καὶ εὑρήσεις ἀεὶ καθ' ἣν ἡμέραν τὸ
ἐν ἑκάστῳ κύκλῳ νομικὸν πάσχα γινόμε-
νον. καὶ οὐκ αὐτὸ μόνον, ἀλλὰ καὶ πᾶσαν
μηνιαίαν ἑτέραν ἡμέραν ἄχρις αὐτοῦ
τοῦ ὀκτωβρίου διήκουσαν:

Διατί θεμέλιος τῆς ψήφου τῆς ☾
ὑπάρχει καὶ ἀεὶ ὁ ἰανουάριος μήν, καὶ
διατί ἐν τῷ αῳ κύκλῳ ιβ ἔχει θεμέ-
μέλιος. καὶ πόθεν ταῦτα συμβαίνουσιν ἀ-
ναγκαίως οὕτως ἔχειν.

Ἡ παροῦσα ἀπάντησις. λύσιν μεγάλης ζη-
τεῖ ὑποθέσεως. ἢ μᾶλλον εἰπεῖν λύσις
τούτων τῶν νῦν ἐπεζητημένων καὶ ἄλλο τι
λύει ὑψηλότερον ἅμα καὶ ἰσχυρότερον. ὅ-
περ γὰρ εἴπομεν ἐν ἀρχαῖς τοῦτο καὶ νῦν
φαμέν. ὅτι τοῖς εὐσεβεῖν ἐθέλουσι καὶ τὸν
θεὸν ἀνομολογοῦσι τὰ πάντα ἐκ τοῦ μὴ ὄντος
παραγαγεῖν, κατ' οὐδὲν ἐμποδίζει τὸ λέ-
γειν κύκλῳ φέρεσθαι τὰ οὐράνια σώματα.
εἰ μὴ καὶ μᾶλλον ἀπὸ τῆς παρούσης ὑπο-
θέσεως· ἀναγκαίως ὑποδεδειγμένον εὑρί-
σκεται. τὸ ἐκ τοῦ μὴ ὄντος παραχθῆναι τὰ
σύμπαντα κατ' ἐκείνην τὴν πρώτην ἀρχήν.
ἣν ὁ θεόπτης μωϋσῆς ἐν τῇ βίβλῳ τῆς
γενέσεως ἔθετο. ἰδοὺ γὰρ διὰ πάσης τῆς
γραφῆς· ἡ μὲν κυκλικὴ αὕτη τοῦ χρόνου
περίοδος· καὶ ἡ ἐν ἰσότητι ἀπαραποίητος
διαγωγή, δηλοῦσι τὸ δι' ὁμαλοῦ κύκλου
ἀεὶ τὰ οὐράνια φέρεσθαι σώματα. ταῦτα δ'
πάλιν συνίστησιν, ἡ κατὰ τὴν εἰρημένην
ἀρχὴν τοῦ κόσμου παραγωγή. ἔχει γὰρ οὕ-
τως· ὡς καὶ ἐν τοῖς προλαβοῦσιν ἀπεδεί-
χθη.          τοῦτο ὁ πρῶτος σελη-
νιακὸς κύκλος ἀεὶ τὴν πρώτην αὐτοῦ ἀπό-
χυσιν, κατὰ τὴν δευτέραν ποιεῖται τοῦ ἀ-
πριλλίου μηνός· διὰ τὸ τοὺς δύο φωστῆρας
τοὺς μεγάλους ἤτοι τὸν ἥλιον· ἐν τῷ πέν-
τε καὶ δεκάτῳ δρόμῳ τοῦ μαρτίου πρωτο-
κλίτως ἀνατεῖλαι· ἀλλὰ καὶ τὴν σελήνην
πέντε καὶ δεκαταίαν ἀναφανῆναι. τὸ δὲ
καὶ ἡ τοιαύτη λύσις καλῶς συνιστῶσα, τὴν
ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι δημιουργίαν.
πλὴν ἀλλ' οὐ τοσοῦτον. τὸ δὲ ἐρωτηθὲν
διατί θεμέλιος τῆς ψήφου τῆς σελήνης
ὑπάρχει μόνος καὶ ἀεὶ ὁ ἰανουάριος μήν. καὶ
διατί ἐὰν μὴ τοῦτο πρῶτον ἐν εἰδήσει
ἔχωμεν τὸ πόσην ἔχει ἐφ' ἑκάστῳ κύκλῳ
ἡ σελήνη κατὰ τὸν ἰανουάριον μῆνα, ἄλ-
λως οὐκ ἔσται δυνατὸν καὶ τὴν ἐφ' ἑκά-
στην μηνιαίαν ἡμέραν εὑρεῖν τῆς σελήνης
ποσότητα. τὸ γοῦν τοιαῦτα ἐρωτηθέντα καὶ
τὸ τῆς ἐρωτήσεως ταύτης εὑρεῖν τὴν λύ-
σιν, μεγάλην συνιστᾶσιν ἀπόδειξιν, τῆς
τοῦ κόσμου δημιουργίας. διὸ καὶ πρόσεχε
ον τοῖς λεγομένοις· ἔχεις ἀπὸ τῶν προ-
λαβόντων ὡς εἴπομεν, τὸν μὲν ἥλιον καὶ

ce objectio.

σω. leg. τῳ

ἣν pro

αὐτὴν τὴν πρώτην ἀρχὴν τῆς δημιουργίας αὐτοῦ ἀναλείψῃ ἐν τῷ πέντε καὶ δεκάτῳ δρόμῳ τοῦ μαρτίου μηνός. ἀλλὰ καὶ τὴν σελήνην πέντε καὶ δεκαταίαν ἀναφανῆναι. τοίνυν καὶ τῶν ἡμερῶν προϊουσῶν. καὶ τὸν μὲν ἡλιακῶν μηνῶν ἄλλην καὶ ἄλλην ἐχόντων ἡμερῶν ποσότητα. τῶν δὲ σεληνιακῶν ἀεὶ ἀνὰ ἡμέρας κθ ς'', ἐπειδὴ οἱ δώδεκα μῆνας τοῦ ἡλίου ια ἡμέρας ὑστεροῦσι, γέγονε δὲ τοῦτο κατ' αὐτὴν ἐκείνην τὴν πρώτην περιφοράν, ἀφ' ἧς καὶ ὁ πρωτογενὴς ἐκεῖνος πρῶτος κύκλος τὸ νομικὸν πάσχα κατὰ τὴν δευτέραν τοῦ ἀπριλλίου μηνὸς πεποίηκεν, ἀλλὰ μὴν καὶ εἰς τὸ ἑξῆς οὕτως ἔχειν παραδέδωκεν, ὅρα τί ἐστι τὸ συμβάν. αἱ ὑστεροῦσαι αὗται τῆς σελήνης ια ἡμέραι, πρωτογνώστως κατ' αὐτὴν τὴν εἴσοδον τοῦ ἰαννουαρίου μηνὸς καταφανεῖς ἐγεγόνεισαν ἀπὸ τῆς ιε τοῦ μαρτίου μηνός, ἀφ' ἧς δηλαδὴ ἰσοφανεῖς οἱ δρόμοι τῶν δύο φωστήρων ἐκλειφθῶσιν.

λεγο ἐκλίαθ.

:

καὶ ἄχρις ὅλου τοῦ δεκεμβρίου μηνός, ἡλιακοὶ μὲν μῆνες ὑπάρχουσιν ἐννέα ἥμισυ. ἔχοντες ἡμέρας σϟβ. σεληνιακοὶ δὲ οὐχὶ μόνοι θ ς''. ἀλλὰ πρὸς τούτοις καὶ ἡμέραι ἐπέκεινα ια. ἐν γὰρ τῷ ἰαννουαρίῳ καὶ τῷ φεβρουαρίῳ συντιθεμένοις οὐδ' ὅλως εὑρίσκεται ὑστερήματι τοῖς δύο σεληνιακοῖς, ὡς πρὸς τοὺς δύο σεληνιακοὺς μῆνας.

forsi. ὑστερήματι

ἔχει γὰρ ὁ ἰαννουάριος ἡμέρας λα. καὶ ὁ φεβρουάριος κη. ὁμοῦ νθ. τὰς αὐτὰς δὲ ἔχουσι καὶ οἱ δύο σεληνιακοὶ μῆνες. τοίνυν καὶ προφανῶς τῶν ὑστερουσῶν ια ἡμερῶν, ἐν τῇ εἰσόδῳ τοῦ ἰαννουαρίου διαγνωσθεισῶν, ἀναγκαίων τε τυγχανουσῶν ταύτας πρωτοτύπως κρατεῖσθαι.

ω

καὶ οὕτως ἐφεξῆς τὰς ἐπιζητουμένας ἡμέρας τῆς σελήνης εὑρίσκεσθαι. εἰ μὴ γὰρ αὗται κρατοῦνται, οὐκ ἂν εὑρεθῇ ἐν ἐκείναις ποτέ, δικαίως ἐκλήθη θεμέλιος ὁ ἰαννουάριος. ὡς ἐξ αὐτοῦ ἀναγκαίως τῆς ἀρχῆς τῆς ψήφου προβαινούσης. ἐπειδὴ γὰρ ἀπὸ τοῦ ποσοῦ τῶν συμψηφισθεισῶν ἡμερῶν ἐκβαλεῖν ὀφείλεις τὰς εὑρισκομένας πανσελήνους, καὶ τὸν περιλιμπανόμενον ἀριθμὸν τοῦτον μέλλεις λέγειν εἶναι τὴν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῆς σελήνης ποστήν, ἀναγκαῖον ὑπάρχει τῷ ὅλῳ ποσῷ τῶν ἡμερῶν, συνεισάγειν καὶ τὰς λειπαζομένας ἡμέρας ἀπὸ τοῦ παρελθόντος κύκλου. ὅπερ ἐστὶν ὁ θεμέλιος. καθὼς ἐν τοῖς ἐφεξῆς πλατύτερον δηλωθήσεται. καὶ ἐπεὶ αἱ λειπαζόμεναι ἡμέραι ἐν μόνῃ τῇ εἰσόδῳ τοῦ ἰαννουαρίου διαγινώσκονται, δικαίως οὗτος λέγεται θεμέλιος καθὼς λέγεται. ὅτι ὁ πρῶτος θεμέλιος ἤτοι τοῦ ἰαννουαρίου ἡ πρώτη. ἡμέρας ἔχει ιβ. ταῖς γὰρ ὑστερησάσαις ια ἡμέραις ἐκείναις προστεθείσης καὶ τὴν πρώτην τοῦ ἰαννουαρίου μηνός, ὁμοῦ πᾶσαι γίνονται ιβ. ὅπερ οὐκ ἂν ἐτύγχανεν οὕτως ἔχον, εἰ μὴ κατὰ τὴν ιε τοῦ μαρτίου μηνὸς οἱ φωστῆρες ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθησαν. ὅθεν ἀναγκαῖαι εἰσὶν αἱ ὑστερήσασαι ἀπὸ τοῦ παρελθόντος χρόνου ταῖς ἡμέραις τοῦ ἐπιόντος χρόνου συμψηφισθῆναι. τοῖς βουλομένοις εὑρεῖν τὴν σεληνιακὴν ἡμέραν. ἵνα συμποσωθεισῶν τῶν ὅλων ἡμερῶν. τῶν ἀπὸ τοῦ παρελθόντος χρόνου ταῖς ἄχρι τῆς ἐν τῇ ἐρωτήσει κειμένης ἡμέρας. καὶ εἰς μίαν ὁμάδα ἀναβιβασθεισῶν ὑπεξαιρεθῶσιν ὅσαι εὑρίσκονται ὁλοκληρίαι σεληνιακῶν μηνῶν. καὶ ὁ καταλειφθεὶς ἀριθμός, οὗτος εἶναι διαγνωσθῇ τῆς ἡμέρας ἐκείνης περὶ ἧς ἡ ἐρώτησις. οἷον τί φημί. ἔστω εἶναι τὸν κύκλον τῆς σελήνης ς'. ἔστιν οὖν ὁ θεμέλιος τοῦ ς' κύκλου ἡμέραι ζ. ἐρωτᾷ οὖν κατὰ τὴν ιδ' τοῦ σεπτεβρίου μηνὸς τοῦ ἐν τῷ ς' κύκλῳ, πόστην ἔχει ἡ σελήνη. καὶ γίνεται ὁ ψῆφος οὕτως. ὁ θεμέλιος ἔχει ζ'. ὁ ἰανουάριος λ'. διὰ τὸ τὴν πρώτην ἡμέραν τῷ θεμελίῳ συνεισαχθῆναι. ὁ φεβρουάριος κη. ὁ μάρτιος λα. ὁ ἀπρίλλιος λ'. ὁ μάϊος λα. ὁ ἰούνιος λ'. ὁ ἰούλιος λα. ὁ αὔγουστος λα. καὶ τοῦ σεπτεβρίου αἱ ιδ'. ὁμοῦ σξγ. ἐξ ὧν σεληνιακοὶ μῆνες ἀνὰ κθ ς'' ὀκτώ. ἡμέραι ἔχουσι, σλς. καὶ περιττεύουσιν ἡμέραι κζ'. καὶ λέγεται ἔχειν τὴν σελήνην ἡμέρας κζ κατὰ τὴν ιδ' τοῦ σεπτεβρίου μηνός.

ἐρώτησις

Διατί μὲν οὖν καὶ τῶν κύκλων τοῦ ἡλίου θεμέλιος ὁ ὀκτώβριος εἶναι λέγεται μεμαθήκαμεν. νυνὶ δὲ καὶ ἄλλην αἰτίαν ἑτέραν ἀναγκαιοτέραν ζητοῦμεν μαθεῖν. τὸ διατί οὗτος μόνος ὁ ὀκτώβριος καὶ ἄλλος οὐδείς, λέγεται εἶναι θεμέλιος. καὶ διατί ἐν τῇ εὑρέσει τῶν ἡμερῶν τῆς ἑβδομάδος ἀπ' αὐτοῦ τούτου ἀρχόμενοι ἀληθεύομεν.

Κατὰ τὴν τετάρτην ἡμέραν τῆς ἑβδο-

μάδος κλιθέντος τοῦ ἡλίου καὶ ἐν τῷ ιε τοῦ δρό-
μῳ τοῦ μαρτίου ἀνατείλαντος. ἄχρι μὲν
τῆς ἐπισημασίας τοῦ τηνικαῦτα ὀκτωβρίου
μηνός· ἄλλως καὶ ἄλλως περιεφέροντο αἱ τῶν
μηνῶν ἡμέραι ὡς πρὸς τὰς τῶν ἑβδομάδων
ἡμέρας. κατὰ δὲ τὴν πρώτην τοῦ ὀκτωβρίου
εὑρεθείσης καὶ τῆς ἑβδομάδος ἡμέραν πρώ-
την ἐχούσης, ἐπειδὴ καὶ ὁ ἰσασμὸς ἐκεῖσε
γέγονεν, ἀπεκεῖσε καὶ ἀρχόμεθα. καὶ καθ-
ὼς ἀνωτέρω ἐγράφη ἑκάστου μηνὸς τὰς μὲν
κη ἡμέρας καταλιμπάνομεν. ὡς ἀπαρτί-
ζουσας ἑβδομάδων ὁλοκληρίαν. τὰς δὲ ἐπέ-
κεινα κρατοῦμεν. ἕως ἂν ἀπέλθωμεν εἰς τὴν
ἡμέραν ἐκείνην περὶ ἧς ἡ ἐρώτησις. καὶ
τἄλ. τἄλλα ποιοῦμεν ὅσα προείπομεν. ὅτι δὲ
κατὰ ὀκτώβριον μῆνα ὁ ἰσασμὸς γέγονεν,
ἐντεῦθεν δῆλον. κατὰ τὴν ιε τοῦ μαρτίου
μηνὸς ἐκτίσθη ὁ ἥλιος. ἀπ' αὐτῆς δὲ τῆς
ιε τοῦ μαρτίου καὶ ἄχρις ὅλου τοῦ σεπτεβρί-
ου, εἰσὶν ἡμέραι σ. πρόσθες καὶ τὰς γ ἡ-
μέρας τὰς πρὸ τοῦ ἡλίου καὶ ὁμοῦ ἡμέραι
σγ μς. σγ. αἵτινες ποιοῦσιν ἑβδομάδας κθ. τοῦ
λοιποῦ οὖν ἡ πρώτη τοῦ ὀκτωβρίου μηνὸς
ἐγένετο τηνικαῦτα καὶ πρώτη τῆς ἔκτοτε ἀρ-
χομένης ἑβδομάδος. οὐχ εὑρίσκεται δὲ ἡ
τοιαύτη ἰσότης, καθ' ἕκαστον χρόνον. ἀλ-
λὰ κατὰ κη χρόνους. διὸ καὶ κη εἶναι κύ-
κλοι τοῦ ἡλίου λέγονται. καὶ ἕκαστον δὲ χρό-
νον περιττεύει ἡμέρα μία. καὶ κατὰ τέσσα-
ρας χρόνους ἑτέρα, διὰ τὸ ἔχειν τὰς νβ
ἑβδομάδας ἡμέρας τξδ. καὶ περιττεύειν
ὡς πρὸς πᾶσαν τὴν τοῦ χρόνου περίοδον ἡ-
μέραν μίαν καὶ τέταρτον, διὸ καὶ ἐν τῷ τοι-
ἴι μς. ούτῳ συμψηφισμῷ, τῆς τῶν ἑβδομαδικῶν
ἡμερῶν εὑρέσεως, καθ' ἕκαστον κύκλον ἡ
τοιαύτη μία ἡμέρα προσλαμβάνεται. καὶ
ἕνεκα τοῦ τετάρτου τῆς ἡμέρας κατὰ τέσσα-
ρας χρόνους ἑτέρα ἡμέρα μία. ὃς δὴ χρό-
νος καὶ βίσεκτος ὀνομάζεται. καὶ τοῦτο ποι-
οῦμεν ἕως ἂν τοὺς κη ἡλιακοὺς κύκλους
διανύσωμεν. καὶ τὸν ἀπὸ τῆς πρώτης ἀρ-
χῆς ἰσασμὸν εὕρωμεν. καὶ αὖθις ἀνακάμ-
ψωμεν.

Ποίαν ὀφείλομεν ἔχειν διδασκαλίαν ἐκ τῶν
νῦν ῥηθησομένων δεκτήν. καὶ γὰρ ὅσοι μὲν
ἀπὸ τῶν χρόνων τῶν βασιλέων ψηφίζουσι
τὸν χρόνον τῆς παρουσίας τοῦ χριστοῦ ἡμῶν
ἰησοῦ χριστοῦ, κατὰ τὸ ͵εφ ἔτος λέγουσιν αὐ-
τὴν γεγονέναι. ὅσοι δὲ ἀπὸ τῶν χρόνων
τῶν τῆς ἰουδαίας ἀρχιερέων κατὰ τὸ ͵εφλ
ἔτος. τίσιν οὖν τούτων μάλιστα προσέχειν
ὀφείλομεν.

Δοκεῖ μοι καὶ ἀμφοτέρους τὸ αὐτὸ λέγειν.
καὶ γὰρ εἰ καὶ τέσσαρες ἕτεροι χρόνοι πρόσ-
κεινται, θαυμαστὸν οὐδέν. εἴτε γὰρ συνεκ-
φωνηθῶσι καὶ οἱ τέσσαρες εἴτε καὶ μή, τὸ
αὐτό ἐστι. τοὺς γὰρ ἐν μέσῳ τῶν δεκά-
δων λεπτοὺς ἀριθμοὺς οἱ πλείους οὐκ ὀνο-
μάζουσιν. ἀλλ' ἀρκοῦνται τῷ μόνον εἰπεῖν
τὸ τῆς δεκάδος ὄνομα. οἷον ὅτι ὁ λαμβά-
νων τὴν ἱερωσύνην τριακοντούτης ἔσω. καὶ τριακονταέτης
δηλοῦνται οἱ ἀπὸ τῶν λ καὶ εἰς τὸ ἑξῆς χρό-
νοι καὶ ὁ δαδ. αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν
ο ἔτη. ἐὰν δὲ ἐν δυναστείαις ὀγδοήκον-
τα καὶ δηλοῦται ὁμοίως ἡ ὅλη τῶν ἑβδο-
μήκοντα δεκάς. καὶ ἡ ὅλη τῶν π. ἐπεὶ
πῶς τοὺς ἐν μέσῳ ἀριθμοὺς καταλέλοιπε.
καὶ ἀπὸ δεκάδος εὐθὺς εἰς ἑτέραν ἦλθε
δεκάδα. δοκεῖ μοι οὖν καὶ ἀμφοτέρους γι-
νώσκειν ὅτι κατὰ τὸ ͵εφλ ἔτος ἡ πρὸς
ἡμᾶς παρουσία τοῦ χριστοῦ ἐγένετο. οὕτως
γὰρ ἔχει ἐξαριδήλου ἀποδείξεως. καὶ γὰρ
τριακοντα ἐτῆς ὢν ἐβαπτίσθη ὁ χριστός. ἤτοι
ἐν ἔτει ιε τῆς ἡγεμονίας τιβερίου καί-
σαρος. κατὰ δὲ τὸ ιη ἔτος τοῦ αὐτοῦ καί-
σαρος, ἔπαθεν ὑπὲρ ἡμῶν τὸ σωτήριον πά-
θος εἰς μῆνα μάρτιον. καθὼς νικηφόρος ὁ ἁγι-
ώτατος πατριάρχης ἐν τοῖς συνοδικοῖς διεγρά-
ψατο. καὶ ψηφίζονται εἶναι ἀπὸ τοῦ βαπτί-
σματος καὶ ἄχρι τοῦ σωτηρίου πάθους μῆ-
νες να. ἤγουν χρόνοι δ' καὶ μῆνες γ. καὶ
ἀπὸ τῆς ἀνάνδρου συλλήψεως καὶ ἄχρι τοῦ
πάθους χρόνοι λε. ἀπὸ δὲ τῆς κατὰ σάρ-
κα γεννήσεως ἄχρι τοῦ αὐτοῦ πάθους, χρό-
νοι λδ μῆνες γ. λοιπὸν οὖν εἰ κατὰ τὸ
͵εφ ἔτος εἴτε ἡ σύλληψις εἴτε ἡ γέννη-
σις γέγονε, συμβαίνει εὑρίσκεσθαι τὸ σωτήριον
πάθος, ἢ κατὰ τὸ ͵εφλ ἔτος, ἢ κατὰ
τὸ ͵εφλε ἔτος. καθὼς ἂν ἕκαστος ψη-
φίζοιτο. εἴτε ἀπὸ τῆς συλλήψεως. εἴτε
ἀπὸ τῆς γεννήσεως. ἀλλὰ μὴν ἐν τῷ ͵εφλε
ἔτει, ἦν κύκλος τῆς σελήνης ϛ. καὶ τοῦ
ἡλίου κύκλος ιγ. καὶ τὸ νομικὸν πάσχα ἀ-
πριλλίου εἰς τὰς ζ. ἡμέρα β'. ἀμφότερα δὲ
ταῦτα ὡς πρὸς τοὺς εὐαγγελιστὰς τῷ τό-
τε καιρῷ. τὸ νομικὸν πάσχα ἐν τῇ ἑβδό-
μῃ ἡμέρᾳ γενέσθαι μαρτυροῦσι. καὶ γὰρ
φασὶ περὶ τῆς παρασκευῆς, αὐτοὶ οὐκ εἰσ-
ῆλθον εἰς τὸ πραιτώριον ἵνα μὴ μιανθῶ-
σιν. ἀλλ' ἵνα φάγωσι τὸ πάσχα. καὶ πάλιν.

οἱ οὖν ἰουδαῖοι ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ· ἐπεὶ παρασκευὴ ἦν· ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνη τοῦ σαββάτου λοιπὸν οὖν ἐκεῖνοι ἀληθεύουσιν οἱ συνῳδὰ τοῖς εὐαγγελισταῖς λέγοντες· συνέρχονται δὲ τῇ τῶν εὐαγγελιστῶν ἀληθείᾳ, οἱ λέγοντες τὴν μὲν ἀπείρανδρον σύλληψιν γέγονεν (leg. γεγονέναι) κατὰ τὸ ͵εφλ ἔτος· τὴν δὲ γέννησιν κατὰ τὸ ͵εφε ἔτος. καὶ τὸ πάθος κατὰ τὸ ͵εφλγ ἔτος· ἐν γὰρ τῷ ͵εφλβ ἔτει, συνέφη (leg. συνέβη) εἶναι τὸν κύκλον τῆς σελήνης δέκατον· τὸν δὲ κύκλον τοῦ ἡλίου κγ. καὶ τὸ νομικὸν πάσχα μαρτίου κδ· ἐν ἡμέρᾳ ἑβδόμῃ· τοίνυν καὶ διαγινώσκονται μᾶλλον οὗτοι· κατὰ τὸ πάντη ἀκριβὲς συγγραψάμενοι· λέγοντες δὲ εἶναι κατὰ τόδε ἢ τόδε τὸ ἔτος τῆς σελήνης κύκλον τὸν δεῖνα· καὶ τὸ πάσχα ἐν ἡμέρᾳ τῇδε […] οὐχ ἁπλῶς οὕτως καὶ ὡς ἔτυχε λέγομεν· ἀλλὰ κατὰ τὴν πρεσβυτέραν διδασκαλίαν καὶ τὸν συμψηφισμόν·.

## Πόθεν ἔχομεν διαγινώσκειν ἐν ποίᾳ ἡμέρᾳ τῆς ἑβδομάδος ὁ ἀρχάγγελος Γαβριὴλ τὸ χαῖρε τῇ ἁγίᾳ παρθένῳ εὐηγγελίσατο.

Ἐὰν τῇ τοῦ μηνὸς ἡμέρᾳ προσέχωμεν, εὑρήσομεν ὡς καθ' ἣν ἡμέραν τάχα δὲ καὶ ὥραν ὁ ἀρχάγγελος Γαβριὴλ τὸ χαῖρε τῇ ἁγίᾳ παρθένῳ εὐηγγελίσατο, κατὰ τὴν αὐτὴν ἡμέραν καὶ ὥραν, καὶ ὁ Χριστὸς τὸ χαίρετε αὐτῇ τε καὶ ταῖς μετ' αὐτῆς γυναιξὶν ἐφθέγξατο· ἀμφότερα γὰρ κατὰ τὴν κε τοῦ μαρτίου μηνὸς γεγόνασιν· εἰ δὲ καὶ τῷ ἐπικρατοῦντι κοινῷ καὶ ἐγγράφω (l. ἐγγρ.) λόγῳ προσέξομεν, ὅς φησιν ἐννέα ἡμέρας μετὰ τὴν πλάσιν αὐτοῦ πεποιηκέναι ἐν τῷ παραδείσῳ τὸν ἀδὰμ διὸ καὶ τὰ ἔνατα παντὶ τεθνεῶτι ἐπιτελοῦνται, εὑρήσομεν ὅτι καὶ ἡ συγκατάθεσις τῆς εὔας καθ' ἣν τῇ τοῦ ὄφεως αὐτὴ ἐπείσθη συμβουλῇ, κατὰ τὴν κε τοῦ μαρτίου μηνὸς ἐγένετο. καὶ ὅτι συνῆλθεν οἰκονομίᾳ θεοῦ τὰ ἀμφότερα ἐν τῇ αὐτῇ ἡμέρᾳ· ἡ τῆς εὔας ἀπάτη· ὁ τῆς ἁγίας παρθένου εὐαγγελισμός· καὶ ὁ τοῦ Χριστοῦ μετὰ τὴν ἀνάστασιν πρὸς τὰς ἁγίας γυναῖκας χαιρετισμός. ὅπως δὲ καὶ οὕτως ἔχειν ταῦτα διαγινώσκονται, ἐντεῦθεν δῆλον γενήσεται· ἔχομεν παραδεδομένον ἀπὸ τῶν χρόνων καὶ βιβλίων· καὶ διδασκαλιῶν οὐκ ὀλίγων, ὅτι κατὰ τὴν κε τοῦ μαρτίου μηνὸς ὁ τοῦ γαβριὴλ εὐαγγελισμὸς πρὸς τὴν παρθένον ἐγένετο· καὶ οὐδεὶς ἐπὶ τούτῳ ἀμφιβάλλει. ἐπεὶ δὲ ἀποδεδειγμένον ἔχομεν καὶ περὶ τοῦ σωτηρίου πάθους· ὅτι ἐν τῷ ͵εφλβ ἔτει ἐγένετο, καὶ ἐν ἡμέρᾳ ἑβδόμῃ τὸ νομικὸν πάσχα τότε ἔτυχεν εἶναι, καὶ ὅτι εἰς τὰς κδ τοῦ μαρτίου μηνός, ἄρα ὁ Χριστὸς κατὰ τὴν κε τοῦ μαρτίου ἀνέστη ἐκ νεκρῶν. καὶ ὅτι κατὰ τὴν αὐτὴν ἡμέραν καὶ τὸ χαῖρε ταῖς ἱεραῖς ἐφθέγξατο γυναιξίν· ἀλλὰ ταῦτα μὲν περὶ τούτων. ἴδωμεν δὲ καὶ ἐὰν ἡ τοῦ ὄφεως συμβουλὴ καὶ ἡ τῆς εὔας συγκατάθεσις καὶ παράβασις κατὰ τὴν αὐτὴν ἡμέραν ἐγένετο· καὶ μὴν ἔχει καὶ τοῦτο οὕτως· ἔχομεν ἐκ τῶν παρελθουσῶν διδασκαλιῶν ἐγνωσμένον, ὅτι ἐν τῷ ιε δρόμῳ τοῦ μαρτίου καὶ τόπῳ εὑρέθη ὁ ἥλιος καθ' ὃν ἐκτίσθη κατ'. ἀλλὰ καὶ κατὰ τὴν τετάρτην ἡμέραν· ὁ μέντοι γε ἀδὰμ σὺν τῇ εὔα ἐν τῇ ἕκτῃ ἡμέρᾳ ἐπλάσθησαν· καὶ ἐπεὶ ἐν τῷ ιε δρόμῳ καὶ τόπῳ κτισθεὶς εὑρέθη ὁ ἥλιος, ἄρα γε δῆλον ὅτι ἐν τῇ κτίσει τοῦ ἀδὰμ καὶ τῆς εὔας, ἑπτακαιδεκάταιον ἐτύγχανε· τούτων δὲ οὕτως ἐχόντων, ἐπεὶ λέγεται ἡμέρας θ διατελέσαι τὸν ἀδὰμ ἐν τῷ παραδείσῳ· καὶ ἐκπεσεῖν ἐν αὐτῇ τῇ ἐννάτῃ, ψήφισον ἀπ' αὐτῆς τῆς ιζ καὶ εὑρήσεις ἐννάτην οὖσαν τὴν εἰκοστὴν πέμπτην τοῦ μαρτίου μηνός· καὶ τοῦ λοιποῦ οὐκ ἔτι ἀμφιβάλῃς ὅτι κατὰ τὴν αὐτὴν μηνιαίαν ἡμέραν ἀμφότερα ταῦτα γεγόνασιν· ὁ εἰς τὰ ὦτα τῆς εὔας ψιθυρισμὸς τοῦ ὄφεως· ὁ εἰς τὰ ὦτα τῆς παρθένου εὐαγγελισμὸς τοῦ γαβριήλ· καὶ ὁ μετὰ τὴν ἀνάστασιν τοῦ Χριστοῦ χαιρετισμός. ἀλλὰ ταῦτα μὲν περὶ τοῦ κατὰ τὴν κε τοῦ μαρτίου ἀμφότερα ταῦτα οἰκονομηθῆναι γενέσθαι. τινὲς δέ φασιν ὅτι οὐ μόνον ἀμφότερα ταῦτα κατὰ τὴν κε τοῦ μαρτίου οἰκονομηθῆ γενέσθαι, ἀλλὰ καὶ ἐν ἡμέρᾳ κυριακῇ. τοῦτο δὲ παρ' ἡμῶν οὐχ εὑρίσκεται. καὶ γὰρ τὸ μὲν κατὰ τὴν αὐτὴν ἡμέραν τοῦ εὐαγγελισμοῦ ἤτοι τῇ κε τοῦ μαρτίου εὑρεθῆναι μετὰ περιόδους χρόνων τοσαύτας καὶ τὴν ἡμέραν τῆς ἐκ νεκρῶν ἀναστάσεως, οὐδὲ ἐγὼ ἀμφιβάλλω. ἀπεδείχθη γὰρ ἱκανῶς. διὸ ἀπὸ τοῦ τότε

καιροῦ

κηρου μέχρι τοῦ νῦν, τὸ οὕτως ἔχον πάσχα κύριον λέγεται· ὡς ἐν ταυτῷ τὴν ἀρχὴν καὶ τὸ τέλος φέρον τῆς οἰκονομίας τοῦ υἱοῦ τοῦ θυ. τὸν δέ γε πρῶτον ἐκεῖνον τοῦ γαβριὴλ εὐαγγελισμόν, ἀλλὰ καὶ τὴν τῆς εὔας ἀπάτην, εὑρίσκω γεγονότα ἐν ἡμέρα τῆς ἑβδομάδος ἑβδόμη· καὶ ὅτι μὲν ἡ τῆς εὔας ἀπάτη ἐν ἡμέρα ἑβδόμη, ἐκ προχείρου τυγχάνει διαγνώσεως· εἰ γὰρ κατὰ τὴν ἕκτην ἡμέραν ἐκτίσθησαν, ἀπ' αὐτῆς δὲ τῆς ἕκτης ἐννέα ἡμέρας ἐν τῷ παραδείσῳ διετέλεσαν· καὶ κατὰ τὴν ἐννάτην αὐτὴν ἐξέπεσον, δῆλον ὅτι ἐν τῇ ἑβδόμη ἡμέρα τῆς ἐπιούσης ἑβδομάδος ἐξέπεσον. ὅτι δὲ καὶ ὁ πρῶτος ἐκεῖνος τοῦ γαβριὴλ εὐαγγελισμὸς ἐν ἡμέρα τῆς ἑβδομάδος ἑβδόμη ἐγένετο, ἔχει οὕτως. ἐπεὶ γὰρ ἐν τῷ ͵ϛφλθ ἔτει τὸ σωτήριον ὑπέστη πάθος ὁ κς, λε χρόνοι παρῆλθον ἀπὸ τῆς ἀπειράνδρου συλλήψεως αὐτοῦ καὶ ἄχρι τοῦ πάθους. ἆρα γε δῆλον ἐστὶν ὅτι ὁ εὐαγγελισμὸς τοῦ γαβριήλ· καὶ ἐν τῇ ἡμέρα τῆς ἁγίας παρθένου ἐν σκηνώσει τοῦ υἱοῦ τοῦ θυ, κατὰ τὸ ͵ϛφδ ἔτος ἐγένετο. ἐν δὲ τῷ ͵ϛφδ ἔτει, ὑπῆρχε κύκλος μὲν τῆς ☾ τρισκαιδέκατος· τοῦ δὲ ἡλίου ιϛ· καὶ τὸ νομικὸν πάσχα εἰς τὴν κα μαρτίου ἡμέρα τρίτη. ψήφισον τοίνυν καὶ εὑρήσεις ὅτι κατὰ τὴν κε τοῦ μαρτίου καθ' ἣν ὁ εὐαγγελισμὸς ἐγένετο, ἑβδόμη ἡμέρα ἐτύγχανεν ὅ ἐστι σάββατον.

Πόθεν συμβαίνει αὐξομένης τῆς ☾ τὸ κοῖλον αὐτῆς, καὶ τὰ κέρατα ἀφορᾶν πρὸς ἀνατολάς· μειουμένης δὲ ἀφορᾶν πρὸς τὴν δύσιν. καὶ πῶς οὐκ ἦν ἀπὸ ἐκλείψεως τοῦ ☉ ὁ γενόμενος σκοτασμὸς κατὰ τὸ σωτήριον πάθος τοῦ κυρίου ἡμῶν.

Ταῦτα τούτων τυγχάνει τὰ αἴτια, τό, τε μὴ ἔχειν τὴν σελήνην παρ' ἑαυτῇ φῶς οἰκεῖον ἀλλ' ἐκ τοῦ ἡλίου φωτίζεσθαι, καὶ τὸ εἶναι τὴν τοῦ ἡλίου περιφορὰν ταχυτέραν· καὶ ἐν ὑψηλοτέρῳ τόπῳ· τὴν δὲ τῆς σελήνης βραδυτέραν καὶ ἐν κατωτέρῳ. εἰ γὰρ καὶ ἡ γραφὴ λέγει ὅτι ἐποίησεν ὁ θς τοὺς δύο φωστῆρας τοὺς μεγάλους· ὅμως τὸ μὲν εἶναι καὶ ἀμφοτέρους ποίημα θυ, ὅπερ καὶ ἦν ἀναγκαῖον μαθεῖν, τοὺς παντελεῖ ἀγνωσίᾳ κατεχομένους ἐσαφήνισε· τὸ δὲ πῶς εἶναι τοὺς φωστῆρας καὶ ἀμφοτέρους κατὰ τὸ πάντη ἠκριβολογημένον παρέλειψε· καὶ τοῖς ἐξ αὐτῶν τὴν ἀρχὴν λαβοῦσι τοῦ τῆς δημιουργίας λόγου, περὶ τούτου κατανοεῖν καὶ εὑρίσκειν παραδέδωκεν, ἐξ αὐτῆς τῶν ὁρωμένων καταλήψεως. διὸ καὶ τὸ μὲν εἶναι τὴν περιφορὰν τοῦ ἡλίου ταχυτέραν τῆς σεληνιακῆς περιφορᾶς, κατανοοῦμεν ἐκ τοῦ ποτὲ μὲν συνοδεύειν τὸν ἥλιον τῇ σελήνῃ· ποτὲ δὲ ἐγγύτερον ἢ πορρωτέρω· ἢ ἀπὸ ἄκρου εἰς ἄκρον εἶναι· καὶ ποτὲ μὲν προοδεύειν αὐτοῦ· ποτὲ δὲ κατόπιν ἔρχεσθαι· τὸ δὲ μὴ ἔχειν οἰκεῖον φῶς τὴν σελήνην ἀλλ' ἐκ τοῦ ἡλίου φωτίζεσθαι, κατασκεπτόμεθα ἔκ τε τοῦ ποτὲ μὲν μειοῦσθαι τὸν φωτισμὸν αὐτῆς, ποτὲ δὲ αὐξάνεσθαι· καὶ ἐκ τοῦ παντελῶς πολλάκις ἐκλείπειν· τὸ μὲν οὖν πρωτόκτιστον φῶς καθὼς καὶ οἱ πατέρες διδάσκουσιν, ἐν τῷ δίσκῳ τοῦ ἡλίου κελεύσει τοῦ δημιουργοῦ λόγου ἐγκατακέκλεισται. ὁ δὲ δίσκος τῆς σελήνης φῶς οἰκεῖον οὐ κέκτηται· δεκτικὸς δὲ τυγχάνει τῶν τοῦ φωτὸς ἀπαυγασμάτων· καὶ φωτιζόμενος φωτίζει· μὴ φωτιζόμενος δὲ οὐ φωτίζει· διὸ καὶ ὅταν κατόπιν τοῦ ἡλίου ἡ σελήνη φαίνηται εἶναι, ἤγουν ἐν ταῖς ἡμέραις καθ' ἃς αὔξει τὸ φῶς αὐτῆς φωτίζεται τὸ μέρος ἐκεῖνο τῆς σελήνης· τὸ πρὸς δύσιν τυγχάνον, διὰ τὸ καὶ τὸν ἥλιον εἰς δύσιν εἶναι· τὸ δὲ μέρος τὸ πρὸς ἡμᾶς καταλιμπάνεται ἀφώτιστον· διὰ τὸ μὴ καθορᾶσθαι ὑπὸ τοῦ ἡλίου. κἀντεῦθεν συμβαίνει τὸ κοῖλον αὐτῆς καὶ τὰ κέρατα· ἀφορᾶν πρὸς ἀνατολάς. τὸ δὲ περιφερὲς πρὸς δύσιν· ὅταν δὲ προοδεύῃ τοῦ ἡλίου ἤγουν ἐν ταῖς ἡμέραις καθ' ἃς μειοῦται τὸ φῶς αὐτῆς, φωτίζεται τὸ μέρος ἐκεῖνο τῆς σελήνης τὸ πρὸς ἀνατολὰς τυγχάνον. διὰ τὸ καὶ τὸν ἥλιον εἰς ἀνατολὰς ἰέναι· τὸ δὲ μέρος τὸ πρὸς ἡμᾶς καταλιμπάνεται ἀφώτιστον· κἀντεῦθεν συμβαίνει καὶ τῷ τότε τὸ μὲν κοῖλον αὐτῆς καὶ τὰ κέρατα, ἀφορᾶν πρὸς τὴν δύσιν· τὸ δὲ περιφερὲς πρὸς ἀνατολὰς καὶ ὁλόφωτον. ω ἀπὸ ταύτης οὖν τῆς αἰτίας, ἐν μὲν τῇ αὐξήσει τοῦ φωτισμοῦ τῆς σελήνης, τὸ μὲν κοῖλον αὐτῆς καὶ τὰ κέρατα ἀφορῶσι πρὸς ἀνατολάς· ἔχει γὰρ τὸν ἥλιον κατὰ δύσιν ὄντα· καὶ τὸ μὲν δυτικὸν με-

ρος αὐτῆς καταυγάζοντα· τὸ δὲ πρὸς ἡμᾶς ἀφορῶν καταλιμπάνοντα ἀφώτιστον· ἐν δὲ τῇ μειώσει, τὸ μὲν κοῖλον αὐτῆς καὶ τὰ κέρατα, ἀφορῶσι πρὸς τὴν δύσιν. ἔχει γὰρ τὸν ἥλιον κατὰ ἀνατολάς· τὸ ἀνατολικὸν μέρος καταυγάζοντα· τὸ δὲ πρὸς ἡμᾶς ἀφορῶν ὁμοίως καταλιμπάνοντα ἀφώτιστον· διὸ καὶ ὅταν μὲν ἐγγύτερον ὑπάρχῃ τοῦ ἡλίου ἡ σελήνη, ὀλίγον αὐτῆς μέρος ὁρῶμεν φωτιζόμενον· διὰ τὸ ἀποτειχίζεσθαι ἡμᾶς ἐκ τοῦ ἀφωτίστου μέρους καθορᾶν τὸ φωτιζόμενον ἅπαν μέρος αὐτῆς· καθόσον δὲ πλέον καὶ πλέον ἀπέχει ἡ σελήνη ἀπὸ τοῦ ἡλίου κατὰ τοσοῦτον καὶ πλέονα ἔτι καὶ πλείονα καθορῶμεν τὸν φωτισμὸν αὐτῆς· διὰ τὸ τὸ μὲν ἀφώτιστον μέρος ἀπὸ τῆς ὄψεως ἡμῶν ἔτι καὶ ἔτι ἀποτρέχειν· τὸ δὲ φωτιζόμενον μᾶλλον ἐπιτρέχειν καὶ καθορᾶσθαι· ὁπηνίκα δὲ καὶ ἡ σελήνη πεντεκαιδεκαταία γένηται, καὶ πρὸς τὴν ἀπόχυσιν τουτέστι πρὸς τὴν ἀρχὴν τῆς μειώσεως μέλλει ἀπιδεῖν, τηνικαῦτα διὰ τὸ εἶναι ἐν τῷ ἑνὶ ἄκρῳ τοῦ οὐρανοῦ τὸν ἥλιον· ἐν δὲ τῷ ἑτέρῳ ἄκρῳ τὴν σελήνην, καὶ ἡμᾶς μέσον, ὁρῶμεν τὸ ὁλόφωτον πρόσωπον τῆς σελήνης· τὸ δὲ μὴ φωτιζόμενον· οὐδ᾽ ὅλως ὁρῶμεν. ἐπεὶ δὲ ταῦτα οὕτως ἔχει ἀεί, φανερῶς φλυαροῦσιν οἱ λέγοντες τὸν γεγονότα σκιασμὸν τοῦ ἡλίου κατὰ τὸ σωτήριον πάθος τοῦ Χριστοῦ ἡμῶν, ἀπὸ τυχηρᾶς ἐκλείψεως γεγονέναι· τὸ γὰρ σωτήριον πάθος ἐν τῷ καιρῷ τοῦ νομικοῦ πάσχα ἐγένετο· τὸ δὲ νομικὸν πάσχα, κατὰ τὰς ἀποχύσεις τῆς σελήνης ἐνομοθετήθη γίνεσθαι· αἱ δὲ ἀποχύσεις ἀπὸ ἑτέρου ἄκρου εἰς ἕτερον τὸν ἥλιον καὶ τὴν σελήνην ἔχουσι· τοσοῦτον δὲ ἀπ᾽ ἀλλήλων ἀφεστηκότων· τοῦ ἡλίου καὶ τῆς σελήνης ἔκλειψις τοῦ ἡλίου οὐ γίνεται· ἀλλ᾽ ὅταν σύνοδος ἀμφοτέρων γένηται:

: Πότε ἐκλείπει ὁ ☉, καὶ πότε ἡ ☾. καὶ πῶς ἡ ἔκλειψις ἀμφοτέρων συμβαίνει γίνεσθαι.

Εἰ μὲν τοὺς τρόπους ἐρωτᾷς τῶν ἐκλείψεων, ῥᾳδία καὶ ἡ περὶ τούτων διδασκαλία γενήσεται· εἰ δὲ τοὺς ἀριθμοὺς τῶν ἡμερῶν· ἤτοι κατὰ πόσων ἡμερῶν διάστημα, μεγάλης ἐστὶν ἀσχολίας καὶ ἄλλης προηγουμένης πολυμαθοῦς μαθήσεως· τοίνυν καὶ περὶ τούτων ῥητέον νυνί· τοῦ πῶς συμβαίνει τὰς ἐκλείψεις γίνεσθαι· φησὶν ἡ θεία γραφή· καὶ εἶπεν ὁ θεός, γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ· εἰς φαῦσιν ἐπὶ τῆς γῆς καὶ ἔστωσαν εἰς σημεῖα καὶ εἰς καιροὺς· καὶ εἰς ἡμέρας καὶ εἰς ἐνιαυτούς· οὕτως δὲ τοῦ πράγματος ἔχοντος, δῆλον ἐστὶ καὶ περὶ τῆς παρούσης ἐρωτήσεως. εἰ γὰρ ἀεὶ οἱ φωστῆρες οὗτοι τὸν δρόμον τὸν αὐτὸν ἤνυον· καὶ εἰς τὸν αὐτὸν τόπον εὑρίσκοντο, καὶ κατὰ τὸ αὐτὸ διάστημα διεστήκεισαν, οὐδέποτε ἂν ἐναλλαγὴ τῶν καιρῶν ἐγίνετο· οὐδὲ σημείωσις τῆς τούτων διαφορᾶς· οὐδὲ τῶν μεταβολῶν ἀντίκρισις· πάντα δ᾽ ἂν ἦν ἐν τῷ αὐτῷ· ἐπεὶ δὲ ταῦτα τυγχάνει, φανερόν ἐστιν ὅτι τῶν φωστήρων ἕτερος ὁ δρόμος· καὶ ὁ τόπος καὶ τὸ διάστημα· φέρονται πρὸς ἀλλήλ μόνον. ἀλ λους ἀλλὰ καὶ αὐτοὶ πρὸς ἑαυτοὺς ἐν ἄλλῳ καὶ ἄλλῳ τόπῳ καὶ διαστήματι καταλαμβάνουσι τοὺς προσήκοντας καὶ ἄνωθεν ἀφωρισμένους αὐτοῖς εὑρισκόμενοι· καὶ ποτὲ μὲν κατὰ πολὺ ἀλλήλων ἀφισάμενοι· καὶ κατὰ τόνδε ἢ τόνδε τὸν τόπον· ποτὲ δὲ ἐγγύτερον συνερχόμενοι, ἢ καὶ παντελῶς πλησιάζοντες. 1. στα. τούτων δὲ οὕτω συμβαινόντων· καὶ τοῦ μὲν ἡλίου τὸν κατὰ πολὺ ὑψηλότερον δρόμον καὶ τόπον κατέχοντος· τῆς δὲ σελήνης τὸν ὑποκάτω δρόμον καὶ τόπον· καὶ ἔτι πρὸς τούτοις. τοῦ μὲν ἡλίου παρ᾽ ἑαυτοῦ τὸ φῶς ἔχοντος. τῆς δὲ σελήνης ἐκ τοῦ ἡλίου φωτιζομένη ὡς l. ης εἴρηται, ὁρατὶ γίνεται· ὅτε σύνοδος τῶν δύο τούτων φωστήρων συμβαί καὶ ἡ σελήνη ὑποκάτω τύχῃ τοῦ ἡλιακοῦ δίσκου, ἀποτειχίζει ἡμῖν τὴν ἐκ τούτου χορηγουμένην φωτοχυσίαν· καὶ ἀποσκιάζουσα κατὰ τοσοῦτον δοκεῖ σκοτίζειν, καθόσον τὸ σῶμα αὐτῆς ἀποκρύπτον εὑρεθῇ τὸν ἥλιον· οὐδὲ γὰρ κατὰ πᾶσαν ἔκλειψιν ὁμοίως ἀποκρύπτει αὐτόν· ἀλλ᾽ ὅτε μὲν μερικῶς· ὅτε δὲ ἐπὶ πλέον· ποτὲ δὲ καθ᾽ ὁλόκληρον. ὅπερ καὶ μεγάλης τυγχάνει ἐκλείψεως. ἀλλὰ ταῦτα μὲν περὶ τῆς τοῦ ἡλίου ἐκλείψεως· ἡ δὲ σεληνιακὴ ἔκλειψις,

ἄλλως ἔχουσα πέφυκεν. ὅταν γὰρ οὕτως ἀλλήλοις ἀντιλεχθῶσιν· ὥστε τὴν μὲν σελήνην τὸν ἄνω τόπον ἐπέχειν· τὸν δὲ ἥλιον ἐκ διαμέτρου ἀντικρὺ ταύτης ἀφεστηκέναι· καὶ τὴν γῆν ἐν τῷ μέσῳ κατὰ τὸ πάντη ἀκριβὲς κεῖσθαι τῆς πρὸς ἄμφω ἀποτειχίσεως, οὐ συγχωρεῖται ἡ τοῦ ἡλίου ἀκτὶς. διὰ τῆς ἀπὸ τῆς γῆς ἀποτειχίσεως· τὸ σεληνιακὸν καταυγάσαι σῶμα. κἀντεῦθεν ἐκλείπει καὶ ταύτης τὸ φῶς· καὶ ὁ πεφωτισμένος ἀνακρύεται αὖθις. ὡς ἐμεγα-
l. λύν λήνθη τὰ ἔργα σου κε πάντα ἐν σοφίᾳ
κύριε ἐποίησας·

Διατί τῆς κοσμοποιίας κατὰ τὸν μάρτιον μῆνα τὴν ἀρχὴν εἰληφυίας ὁ χρόνος ἀπ' ἀρχῆς τοῦ σεπτεβρίου μηνὸς ἀπάρχεσθαι λέγεται·

Διὰ τὸ καλεῖσθαι χρόνος ὁ χρόνος· διὰ τοῦτο καὶ ἀπὸ σεπτεβρίου μηνὸς ἤτοι τῆς δευτέρας ἰσημερίας τὴν ἀρχὴν λαμβάνειν λέγεται. πρώτη γὰρ ἰσημερία ἡ κατὰ τὸν μάρτιον μῆνα· δευτέρα δὲ ἡ κατὰ τὸν σεπτέβριον· ἀλλὰ περὶ μὲν τούτων, μικρὸν κατωθεν ῥηθήσεται· τέως δὲ ἡ ἀπὸ τοῦ σεπτεβρίου λογιζομένη ἀρχὴ, εἰς τὰ ἑβραϊκὰ καὶ μωσαϊκὰ οὐχ εὑρίσκεται· ἀλλ' ἀπὸ τῶν ῥωμαίων ταῦτα προσλαβόντες ἔχομεν. ἀνῶν ἀσχολουμένων εἰς τὸ δικαιοδοτεῖν καὶ εἰς τὴν συμφέρουσαν τῇ πολιτείᾳ κατάστασιν· διὸ καὶ φασί τινες διότι ὁ σεπτέβριος τῶν παρελθόντων κόπων ὡς ἐπὶ τὸ πολὺ τοὺς καρποὺς συγκλείει. καὶ ταῖς ἀποθήκαις ἐναποτίθησι· καὶ τῶν ἐπιόντων πόνων ἀπάρχεται· καὶ τῶν μισθῶν καὶ τῶν πάκτων καὶ τῶν κήνσων ὑπὲρ μὲν τοῦ παρελθόντος ἐλευθεροῖ· ὑπὲρ δὲ τοῦ ἐπιόντος, φροντίζειν καὶ κοπιᾶν ὑποτίθησι. τοῦτο γὰρ δηλοῖ καὶ τὸ τοῦ σεπτεβρίου ὄνομα. διὰ τοῦτο καὶ ἀρχὴ τῆς χρονικῆς ἐπινεμήσεως λέγεται· ἀλλὰ ταῦτα μὲν οἱ τῶν ῥωμαίων ὑπεραπολογούμενοι· ἕλληνες δὲ τοῦτον εἶναι ἀρχὴν τοῦ χρόνου ὑποτίθενται· διὰ τὴν τοῦ χρόνου ἐτυμολογίαν. εἰ γὰρ ὁ χρόνος ἀπὸ τοῦ φθείρειν χρόνος ὠνόμασται, ἄρα ἀρχὴ τοῦ φθόρου καὶ τῆς φθορᾶς ὁ σεπτέβριος. μέχρι γὰρ τοῦ σεπτεβρίου μηνὸς τὸ γένος τῶν καρπίμων ἀλλὰ καὶ τῶν ἀκάρπων ἐνδυναμοῦται· ἔκτοτε δὲ ὑπερβαίνει καὶ ξηραίνεται· ἡ διαρρέει καὶ φθείρεται. διὸ καὶ ἀρχὴν τοῦ φθινοπώρου τοῦτον ἅπαντες οἴδαμεν· οἶμαι δὲ καὶ κατὰ τὰ ἑβραϊκὰ ἐὰν λέγωμεν τοῦ χρόνου ἀρχὴν εἶναι τὸν σεπτέβριον, οὐχ ἁμαρτάνομεν τοῦ σκοποῦ· τὸ δὲ πῶς, ἄκουσον, ἐκτίσθημεν ἐπὶ ἀφθαρσίᾳ καὶ τῇ εἰς τὸ κρεῖττον ἐπιδόσει. διὰ δὲ τὴν παρακοὴν καὶ τὴν παράβασιν κατεκρίθημεν εἰς φθοράν· συγκατεκρίθη δὲ μεθ' ἡμῶν καὶ ἡ κτίσις· καθὼς καὶ ὁ μακάριος παῦλος λέγει· λοίπον καὶ κατὰ τὴν πρώτην κτίσιν καὶ τὴν εἰς τὸ κρεῖττον ἐπίδοσιν, φαίνεται εἶναι ἀρχὴ ἡ πρώτη ἰσημερία τοῦ ἐνιαυτοῦ· ἤγουν ὁ μάρτιος· κατὰ δὲ τὴν ἐκ παραβάσεως κατάραν καὶ τὴν μετὰ κόπου ζωὴν· καὶ τὴν εἰς τὴν φθορὰν ἀπάγουσαν μεταφοράν· ἀρχὴ τοῦ χρόνου ἡ δευτέρα ἰσημερία. ἐκεῖθεν γὰρ ἄρχονται τὰ πάντα· καὶ πρὸς φθορὰν πατοῦνται. l. ἀπά
διὸ καὶ ἡ κατὰ τὸν μάρτιον ἀρχὴ, ἐνιαυτοῦ ἀρχὴ δικαίως ἂν λέγοιτο· διὰ τὸ ἐνιαύσιον τῆς τότε ζωῆς καὶ ἀποίκιλον. ἡ δὲ κατὰ τὸν σεπτέβριον, δικαίως ἂν πάλιν κω- l. κα
λοῖτο χρόνου ἀρχή· ὡς φθορᾶς ἀρχή. ὁ γὰρ χρόνος ἐκ τοῦ ῥέειν καὶ φθείρειν χρόνος ὠνόμασται.

Διατί ιε εἰσὶν ἰνδικτιῶνες, καὶ οὔτε πλείονες, οὔτε ἐλάττονες·

Τὸ διατί ιε εἰσὶν ἰνδικτιῶνες· καὶ οὔτε πλείους οὔτε ἐλάττονες, καὶ τί λέγεται ἰνδικτιὼν καὶ τὰς ἀναβιβάζεσθαι καὶ αὖθις ὑποστρέφειν, ἀπὸ τῶν ῥωμαίων ὁμοίως παραλαβόντες ἔχομεν· περὶ δὲ τοῦ ἀριθμοῦ τῶν πεντεκαίδεκα καὶ τῆς τοῦ ὀνόματος προσηγορίας, ὡς μέν τινες μυθολογοῦσι λέγοντες, ἀπό τινος στρατηγοῦ τὴν ἀρχὴν εἰληφασι· τοῦτο μὲν τὸ ὄνομα καλουμένου· ἐπὶ χρόνοις δὲ πεντεκαίδεκα μεγάλως εὐτυχήσαντος· καὶ αὖθις ἐφ' ἑτέροις ιε, δυστυχήσαντος. κἀντεῦθεν δεδωκότος τοῖς l. ος
ἐφεξῆς μετά τινες ἐπὶ τηρήσεως τὴν τῶν χρόνων τούτων ἀπαριθμηθεῖσαν ποσότητα· τοῦτο δὲ ἀπίθανον καταφαίνεται εἶναι. ἐπειδὴ ὁρῶμεν ἀπ' αὐτῆς τοῦ κόσμου κτίσεως, τόν τε συμψηφισμὸν τῶν ἰνδικτιώνων, καὶ τὴν ὁλότητα τῶν ἐτῶν ἐν καταλλήλῳ ταυτότητι βαίνοντα· ἰδοὺ

γὰρ νῦν ἀπὸ τῆς κτίσεως τοῦ κόσμου, ἔ-
τος ͵ζχ. ἰνδικτιὼν δὲ πεντεκαιδεκάτη.
ἅπερ οὕτως ἔχουσιν, ὡς μηδὲ τὸ παρά-
παν κατὰ τὸν συμψηφισμὸν διαλλάσσοντα.
ἀλλ᾽ ἐν ταυτότητι βαίνοντα. εἰσὶ γὰρ ταῦ-
τα τὰ ͵ζχ ἔτη πεντεκαιδεκάδες τέλειαι
υμ. καὶ τὸ ͵ζχα ἔτος, ὑπάρχει καὶ ἰνδι-
κτιὼν αη. ὥστε ταῦτα οὐκ ἀπό τινος
στρατηγοῦ, ἀλλ᾽ ἀπ᾽ αὐτῆς τῆς κοσμοποιΐ-
ας συμπαρήχθη γενέσεως. ἐγὼ δὲ καὶ ἐν
τούτῳ τεθαύμακα, πῶς οἱ τηνικαῦτα ῥω-
μαῖοι οἱ ἑλληνόφρονες ὄντες, καὶ ἀπ᾽ ἀρχῆς
εἶναι τὸν κόσμον μὴ λέγοντες, ὅμως ἀπὸ
τῆς ἀληθείας παρελαυνόμενοι, τῇ μούσῃ
ἰκῇ ἀληθείᾳ παρεπέμποντο. ἀλλὰ καὶ πῶς
ὑπὸ τοῦ στρατηγοῦ. εἰ γὰρ στρατηγός τις
ἦν ἴνδικτος, ἢ ἰνδικτιών, ἐλέγετο ἂν ἰν-
δίκτου, ἢ ἰνδικτιῶνος πρώτη, ἢ δευτέρα.
νυνὶ δὲ πρώτην καὶ δευτέραν λέγομεν ἰν-
δικτιῶνα. ἀσυμβίβαστα δὲ τοῖς θηλυκοῖς
τὰ ἀρσενικά. καὶ ταῦτα μὲν ἐπὶ τούτοις.
δοκεῖ δὲ σαφέστερον εἶναι, ὅπερ ἐν ἅπα-
σι τοῖς παλαιοῖς καταγράφοις εὑρίσκεται.
πανταχοῦ γάρ, ἀντὶ τοῦ ὀνόματος τῆς ἰνδι-
κτιῶνος, τὸ τῆς ἐπινεμήσεως ὄνομα τίθε-
ται. τοίνυν καὶ ἐπινέμησις εἶναι ἡ ἰνδι-
κτιὼν ἑρμηνεύεται. περὶ δὲ τοῦ ἀριθμοῦ
τῶν ιε ἐπινεμήσεων, ἤτοι ἰνδικτιώνων,
καὶ τοῦ ἄχρι τοῦ τοσοῦδε ἀριθμοῦ ἀναβι-
βάζεσθαι ταύτας καὶ ἵστασθαι· αἰτίαν εἶ-
ναι λέγομεν τὴν ἐναλλαγὴν τῶν ἀνθρώπων ἡ-
λικιῶν. κατὰ ιε χρόνους, τὰς μεγάλας ἐν-
αλλαγὰς ἐναλλαττόμεθα· ἤτοι τὴν ἥβην, § ΛΒ.
τὸ τέλειον, τὸ μεσαίτερον. τὸ πολιόν, τὸ γη-
ραιόν, τὸ ἐσχατόγηρον, καὶ τὸ μακρόβιον.
τὰ μὲν οὖν εἰρημένα περί τε τῶν ἡμερῶν,
καὶ τῶν κύκλων, καὶ τῆς εὑρέσεως τῶν
ἀποχύσεων, καὶ ἑτέρων τοιούτων τινῶν,
παχυτέρως ἐρρέθησαν, ἵνα μὴ τὸ λελεπτο-
λογημένον τῆς ἀκριβείας, σύγχυσιν περὶ
τὴν ῥαδίαν καὶ ἁπλῆν ἐμποιήσῃ γνῶσιν.
ἐπεὶ δὲ ταῦτα οὕτω προέβη, καὶ ἐνδε-
χομένη περὶ τούτων κατάληψις γέγονεν,
ἴωμεν ἤδη καὶ εἰς τὴν λεπτοτέραν διή-
γησιν. τάχα δὲ εἰς ταύτην καθόσον ἐξ-
αρκεῖ. τὸ γὰρ πάντη λεπτότερον, πολυ-
ασχόλου ἐστὶ μαθήσεως. περὶ δὲ ὧν λέ-
γομεν ἔχει οὕτως.

✝.

Kast